[π]αστοφόρος [2] τε θεᾶς Νειλωτίδος Εἴσιδος ἁγνῆς |
εἴκοσι δὶς πληρώσασα χρόνο[υς ?] κεῖται λυκαβάντων.

1. Scil. sacerdos. — 2. De pastophoris Isidis, v. G. Lafaye, *Histoire du culte des divinités d'Alexandrie*, p. 146.

188. Romae, in via Appia. — *Insc. gr. Sic. et Ital.*, 1368.

Ἄλκηστις τοὔνομα | τῶι δ' ἐπὶ τύμβωι κεῖ|μαι σὺν θυγατρὶ Ἑρμιόνῃ ‖ βιώσασα δ' καὶ κ' ἔτος · πα‖τρὶς δ' ἐμοὶ ὑπάρχει Ἀσίη|θεν Ἀφροδισιάς · εὐσεβεί|ης δὲ εἵνεκα, ἧς τοὔνομα | ἐκόσμησα, καὶ γέγονα Ἄλ|κηστις ἐκείνη ἡ πάλαι φί‖λανδρος, ἣν καὶ θεοὶ καὶ βρο|τοὶ ἐμαρτύρησαν σω|φροσύνης εἵνεκα · τού|των δ' ἐμοὶ μίζων μάρ‖τυς σύμβιος [1], ὃς καὶ εὐσεβίην πᾶσαν εἰς ἐμὲ ‖ ἐξετέλεσσεν. ὧι καὶ θε|οὶ ἀμοιβὰς καὶ τὰ δίκαια | τὰ ἡμέτερα ἀποδοῖεν. | Κλ. Μάξιμος ἰδίαι ‖ συμβίωι καὶ θυγατρὶ | μνήμης εἵνεκα ἐποίει.

1. « Μείζων μάρτυς etsi fortasse explicari potest ita ut sit testis luculentior illis qui de Alcestide testati sunt, tamen vereor ne scriptor voluerit τούτων δ' ἐμοὶ ζῶν μάρτυς σύμβιος. » Kaibel.

---

189. Romae. — *Insc. gr. Sic. et Ital.*, 1369.

Αλλονια | Μαρκελα φη|κιτ μαριτο σου|ο βενε μερε(ν)τι Α‖λονιο Ζωτικο · | ανως βιξιτ μικ|ου | XXII.

Intellege : Allonia Marcella fecit marito suo bene merenti Alonio Zotico; annos vixit mecum XXII.

---

190. Romae, ut videtur; nunc est Neapoli in museo. — *Insc. gr. Sic. et Ital.*, 1371.

Θεοῖς κατα|χθονίοις. Ἀλυπει πραγματευ|τῇ [1], ὃς ἔζησεν ‖ ἔτη με' συμβίῳ, μεθ' οὗ | ἔζησα ἔτη δέκα, Αὐρηλία Ῥηγεῖνα μνήμης ‖ χάριν ἀνέθηκα.

1. Negotiator.

---

191. Romae. — *Insc. gr. Sic. et Ital.*, 1372.

Π. Ἀλφηνὸς | Μαρτιάλης | Λαοδικεὺς | τῆς Ἀσίας πα‖ρόδοις χαί|ρειν · πατὴρ ἐ|ποίησε τῷ ἰδίῳ | τέκνῳ, ζήσαν|τι ἔτη θ'.

---

192. Romae. — *Insc. gr. Sic. et Ital.*, 1374.

Ὁ κλεινὸς Ἶνις βασιλέως Ἀμαζάσπος |
ὁ Μιθριδάτου βασιλέως κασίγνητος, |
ᾧ γαῖα πατρ[ί]ς Κασπίας παρὰ κλῄθρας, |

Ἴβηρ Ἴβηρος, ἐνθαδὶ τετάρχυται ||
πόλιν παρ' ἱρήν [2], ἣν ἔδειμε Νικάτωρ |
ἐλαιόθηλον ἀμφὶ Μυγδόνος νᾶμα · |
θάν[ε]ν δ' ὀπαδὸς Αὐσόνων ἁγήτορι |
μολὼν ἄνακ[τι Π]αρθικὴν ἐφ' ὑσμίνην [3], |
πρίν περ παλάξ|αι χεῖρα δηΐῳ λύθρῳ, ||
ἴφθιμον αἰὲι χεῖρα δουρὶ κα|ὶ τ|όξο|ι |
καὶ φασγάνου κνώδοντι, πεζὸς ἱπ[πεύς τε ·]
ὁ δ' αὐτὸς ἶσος παρθένοισιν αἰδοίαις.

1. De Amazaspo, cf. *Prosop. imp. rom.*, I, p. 52, n. 409. — 2. Nisibis, sive Antiochia Mygdonia. — 3. Pugnavit et cecidit Amazaspus, partes Romanorum amplexus in bello quod Trajanus contra Parthos anno 115-116 p. C. n. gessit. Verisimile est Amazaspi, primum ad Nisibim sepulti, ossa ex Mesopotamia Romam transvecta esse.

In via Appia tertio ab Urbe lapide, Herodem Atticum in honorem Anniae Regillae uxoris « luminis domus, cujus haec praedia fuerunt » (cf. n° 193), Triopeum constituisse notum est. Idem in eadem regione Cereri Faustinaeque, et Minervae Nemesique fana consacravit quorum in altero (qui hodie templum Dei Rediculi dicitur) uxoris heroum et statuam collocavit. Cf. Lanciani, *Pagan and christian Rom.*, p. 288 sqq. Ad quae pertinent quatuor inscriptiones quae infra transcriptae sunt. De Appia Regilla cf. *Prosop. imp. rom.*, I, p. 79, n. 557 ; de Claudio Attico Herode, *ibid.*, p. 351, n. 654.

193. *Insc. gr. Sic. et Ital.*, 1391 ; *C. I. L.*, VI, 1342.

Ἀννία Ῥήγιλλα | Ἡρῴδου γυνή, τὸ φῶς | τῆς οἰκίας, τίνος [1] ταῦ|τα τὰ χωρία γέγοναν. ||

Annia Regilla, | H[e]rodis uxor, | lumen domus, | cuius haec praedia | fuerunt.

1. I. e. ἧς τινος.

---

194. *Insc. gr. Sic. et Ital.*, 1389.

A Μαρκέλλου. |

Δεῦρ' ἴτε, Θυβριάδες, νηὸν ποτὶ τόνδε, γυναῖκες, |

Ῥηγίλλης ἕδος ἀμφὶ θυοσκόα ἱρὰ φέρουσαι · |
ἡ δὲ πολυκτεάνων μὲν ἔην ἐξ Αἰνεαδάων, ‖
Ἀγχίσεω κλυτὸν αἷμα καὶ Ἰδαίης Ἀφροδίτης, |
γήματο δ' ἐς Μαραθῶνα · θεαὶ δέ μιν οὐρανιῶναι |
τίουσιν Δηώ τε νέη Δηώ τε παλαιή. |
τῆσί περ ἱερὸν εἶδος ἐυζώνοιο γυναικὸς |
ἀγκεῖται · αὐτὴ δὲ μεθ' ἡρώνησι νένασται ‖
ἐν μακάρων νήσοισιν, ἵνα Κρόνος ἐμβασιλεύει · |
τοῦτο γὰρ ἀντ' ἀγαθοῖο νόου εἴληχεν ἄποινον. |
ὥς οἱ Ζεὺς ὤκτειρεν ὀδυρόμενον παρακοίτην. |
γήραι ἐν ἀζαλέωι χήρηι περικείμενον εὐνῆι. |
οὕνεκά οἱ παῖδας μὲν ἀμύμονος ἐκ μεγάροιο ‖
Ἅρπυιαι κλωθῶες ἀνηρείψαντο μέλαιναι |
ἡμίσεας πλεόνων · δοιὼ δ' ἔτι παῖδε λιπέσθην, |
νηπιάχω ἀγνώ τε, κακῶν ἔτι πάμπαν ἀπύστω, |
οἵην σφι νηλὴς κατὰ μητέρα πότμος ἔμαρψε, |
πρίν περ γηραιῇσι μιγήμεναι ἠλακάτῃσι · ‖
τῶι δὲ Ζεὺς ἐπίηρον ὀδυρομένωι ἀκόρητον |
καὶ βασιλεὺς Διὶ πατρὶ φυὴν καὶ μῆτιν ἐοικώς. |
Ζεὺς μὲν ἐς ὠκεανὸν θαλερὴν ἔστειλε γυναῖκα |
αὔρῃσι Ζεφύροιο κομιζέμεν Ἠλυσίῃσιν, |
αὐτὰρ ὁ ἀστερόεντα περὶ σφυρὰ παιδὶ πέδιλα ‖
δῶκεν ἔχειν, τὰ λέγουσι καὶ Ἑρμάωνα φορῆναι, |
ἦμος ὅτ' Αἰνείαν πολέμου ἐξῆγεν Ἀχαιῶν |
νύκτα διὰ δνοφερήν · ὁ δέ οἱ περὶ ποσσὶ σαωτὴρ |
παμφανόων ἐνέκειτο σελ[ηναίη]ς κύκλο ς εὐ ρ ύς. |
Τὸν δὲ καὶ Αἰνεάδαι ποτ' ἐνερράψαντο πεδίλῳ ‖
[ἔμμεναι] Αὐσο[νίοις εὐ]ηγενέεσσι γέρα[τ]α. |
Οὔ μιν ὀνόσσηται καὶ Κεκροπίδην περ ἐόντα |
Τυρσηνῶν ἀρχαῖον ἐπισφύριον γέρας ἀνδρῶν, |
Ἕρσης ἐκγεγαῶτα καὶ Ἑρμέω, εἰ ἐτεὸν δή, |
Κῆρυ[ξ] Ἡρώδεω πρόγονος Θησηιάδαο. ‖
Τοὔνεκα τειμήεις καὶ ἐπώνυμος, ἧ μὲν ἄνασσαν |
ἐς βουλὴν ἀγέρεσθαι, ἵνα πρωτόθρονες ἕδραι, |

Ἑλλάδι δ᾽ οὔτε γένος βασιλεύτερος οὔτε τι φωνὴν |
Ἡρώδεω · γλῶσσαν δέ τέ μιν καλέουσιν Ἀθηνέων. |
Ἡ δὲ καὶ αὐτή περ καλλίσφυρος Αἰνειώνη ‖
καὶ Γανυμηδείη καὶ Δαρδάνιον γένος ἦην |
Τρωὸς Ἐριχθονίδαο · σὺ δ᾽, ὶ φίλον, ἱερὰ ῥέξαι |
καὶ θῦσαι · θυέων ἀτὰρ οὐκ ἀέκοντος ἀνάγκη · |
ε[ὖ] δέ τοι εὐσεβέεσσι καὶ ἡρώων ἀλεγίζειν · |
οὐ μὲγ γὰρ θνητή, ἀτὰρ οὐδὲ θέαινα τέτυκται · ‖
τοὔνεκεν οὔτε νεὼν ἱερὸν λάχεν οὔτε τι τύμβον |
οὐδὲ γέρα θνητοῖς, ἀτὰρ οὐδὲ θεοῖσιν ὅμοια. |
Σῆμα [δέ] οἱ νηῶι ἴκελον δήμωι ἐν Ἀθήνης, |
ψυχὴ δὲ σκῆπτρον Ῥαδαμάνθυος ἀμφιπολεύει. |
Τοῦτο δὲ Φαυστείνηι κεχαρισμένον ἧσται ἄγαλμα ‖
δήμωι ἐνὶ Τριόπεω, ἵνα οἱ πάρος εὐρέες ἀγροὶ |
καὶ χορὸς ἡμερίδων καὶ ἐλαιήεντες ἄρουραι. |
Οὔ μ[ι]ν ἀτιμήσειε θεὴ βασίλεια γυναικῶν, |
ἀμφίπολον γεράων ἔμεναι καὶ ὀπάονα νύμφην · |
οὐδὲ γὰρ Ἰφιγένειαν ἐΰθρονος Ἰοχέαιρα, ‖
οὐδ᾽ Ἕρσην γοργῶπις ἀπητίμησεν Ἀθήνη, |
οὐδὲ μιν ἡρώνησι παλαιῇσιν μεδέουσα |
Καίσαρος ἰφθίμοιο παρόψεται ὄμπνια μήτηρ |
ἐς χορὸν ἐρχομένην προτεράων ἡμιθεάων, |
ἢ λάχεν Ἠλυσίῃσι χοροστασίῃσιν ἀνάσσειν ‖
αὐτῆι τ᾽ Ἀλκμήνη τε μάκαιρά τε Καδμειώνη. |

B Πότνι᾽ Ἀθηνάων ἐπιήρανε Τριτογένεια, |
ἥ τ᾽ ἐπὶ ἔργα βροτῶν ὁράαις, Ῥαμνουσιὰς Οὖπι, |
γείτονες ἀγχίθυροι Ῥώμης ἑκατοντοπύλοιο, |
πείονα δὴ καὶ τόνδε, θεά, τειμήσατε χῶρον, ‖
δῆμον Δηῴοιο φιλόξεινον Τριόπαο, |
τόφρα κε καὶ Τριόπειαι ἐν ἀθανάτοις ἀλέγησθον. |
Ὡς ὅτε καὶ Ῥαμνοῦντα καὶ εὐρυχόρους ἐς Ἀθήνας |
ἤλθετε, δώματα πατρὸς ἐριγδούποιο λιποῦσαι, |
ὧς τήνδε ῥώεσθε πολυστάφυλον κατ᾽ ἀλωήν, ‖

λήιά τε σταχύων καὶ δένδρεα βοτρυόεντα |
λειμώνων τε κόμας ἁπαλοτρεφέων ἐφέπουσαι. |
Ὕμμι γὰρ Ἡρώδης ἱερὴν ἀνὰ γαῖαν ἔηκε |
τὴν ὅσσην περὶ τεῖχος ἐύτροχον ἐστεφάνωται, |
ἀνδράσιν ὀψιγόνοισιν ἀκινήτην καὶ ἄσυλον ||
ἔμμεναι · ἡ δ' ἐπί οἱ ἐξ ἀθανάτοιο καρήνου |
σμερδάλεον σίσασα λόφον κατένευσεν Ἀθήνη, |
μή τωι νήποινον βῶλον μίαν ἢ ἕνα λᾶαν |
ὀχλίσσαι, ἐπεὶ οὐ Μοιρέων ἀτρεῖες ἀνάγκαι. |
ὅς κε θεῶν ἐδέεσσιν ἀλιτροσύνην ἀναθήη. ||
Κλῦτε, περικτίονες καὶ γείτονες ἀγροιῶται, |
ἱερὸς οὗτος ὁ χῶρος, ἀκίνητοι δὲ θέαιναι |
καὶ πολυτίμητοι καὶ ὑποσχεῖν οὖας ἕτοιμαι · |
μηδέ τις ἡμερίδων ὄρχους ἢ ἐ[π'] ἄλσεα δενδρέων |
ἢ ποίην χιλῶι εὐαλδέι χλωρὰ θέουσαν ||
δμωὴν κυανέου Ἀίδος [π]ήξειε μάκελλαν, |
σῆμα νέον τεύχων ἠὲ πρότερον κεραΐζων · |
οὐ θέμις ἀμφὶ νέκυσσι βαλεῖν ἱερόχθονα βῶλον, |
πλὴν ὅ κεν αἵματος ἧισι καὶ ἐκ γένος ἐσσαμένο ιο | · |
κείνοις δ' οὐκ ἀθέμιστον, ἐπεὶ τιμάορος ε[ἴ]στωρ · ||
καὶ γὰρ Ἀθηναίη [ποτ'] Ἐριχθόνιον βασιλῆα |
νηῶι ἐνκατέθηκε συνέστιον ἔμμεναι ἱρῶν. |
Εἰ δέ τωι ἄκλυτα ταῦτα καὶ οὐκ ἐπιπείσεται αὐτοῖ[ς, |
ἀλλ' ἀποτιμήσ[ε]ι, μή οἱ νήτιτα γένηται, |
ἀλλά μιν ἀπρόφατος Νέμεσις καὶ ῥόμβος ἀλάστωρ ||
τίσονται, στυγερὴν δὲ κυλινδήσει κακότητα · |
οὐδὲ γὰρ ἴφθιμον Τριόπεω μένος Αἰολίδαο |
ὤναθ', ὅτε νειὸν Δημήτερος ἐξαλάπαξεν. |
Τῶι ἤτοι ποινὴν καὶ ἐπωνυμίην ἀλ ἑ ασθα[ι] |
χώρου, μή τοι ἕπηται ἔπι Τρ[ι]όπειος Ἐρινύς. |

. De his titulis cf. E. Q. Visconti, *Iscriz. gr. triopee ora Borghesiane* in libro dicto *Opere varie,* I, p. 237-362; Froehner, *Insc. gr. du Louvre,* p. 9-24; Kaibel, *Epigr. gr.,* 1046; Vidal-Lablache, *Hérode Atticus,* p. 5 et seq.; p. 74-77.

195. In columnis duabus positis in Triopei introitu. — *Insc. gr. Sic. et Ital.*, 1390.

A

ab una parte.

Οδενι | θεμι|τον με|τακινε|σαι εκ το | Τριοπιο | ho εστιν | επι το | τριτο || εν τει | hοδοι | τει Αππια | εν τοι | Ηεροδο || αγροι · ο|γαρ λοι|ον τοι | κινεσαν|τι. Μαρ|τυς δαι|μον | Ενhοδια. |

ab altera parte.

Και hοι κιο|νες Δεμετρος || και Κορες | αναθεμα | και χθονι|ον θεον και |

B

ab una parte.

Οδενι θε|μιτον με|τακινεσαι | εκ το Τριο||πιο hο εσ|τιν επι το|τριτο εν|τει hοδοι | τει Αππιαι || εν τοι Ηερο|δο αγροι · | ο γαρ λοι|ον τοι | κινεσαντι. || Μαρτυς | δαιμον | Ενhοδια. |

ab altera parte.

Και hοι κιονες | Δεμετρος και || Κορες αναθεμα | και χθονι|ον θεον. |

De litterarum forma et de iis quae ad grammaticam spectant, cf. *C. I. Gr.*, 26 ; Vidal-Lablache, *Hérode Atticus*, p. 68 et suiv.

Sic lege : Οὐδενὶ θεμιτὸν μετακινῆσαι ἐκ τοῦ Τριοπίου, ὅ ἐστιν ἐπὶ τοῦ τρίτου ἐν τῇ ὁδῷ τῇ Ἀππίᾳ ἐν τῷ Ἡρῴδου ἀγρῷ · οὐ γὰρ λῷον τῷ κινήσαντι. Μάρτυς δαίμων Ἐνόδία.

Καὶ οἱ κιόνες Δήμητρος καὶ Κόρης ἀνάθημα καὶ χθονίων θεῶν.

---

196. *Insc. gr. Sic. et Ital.*, 1392.

Ἡρῴδης μνημεῖον καὶ | τοῦτο εἶναι τῆς αὑτοῦ | συμφορᾶς καὶ τῆς ἀρε|τῆς τῆς γυναικός. || Ἔστιν δὲ οὐ τάφος · τὸ | γὰρ σῶμα ἐν τῇ Ἑλλάδι | καὶ νῦν παρὰ τῷ ἀνδρὶ | ἐστίν. Τὸν ἐκ ταύτης | παῖδα εἰς τοὺς Εὐπα||τρίδας ἐν Ῥώμῃ ἐνέγρα|ψεν Ἀντωνῖνος αὐτο|κράτωρ, Εὐσεβὴς ὑ|πὸ τῆς πατρίδος καὶ | πάντων κληθείς, || ἀνενεγκὼν εἰς τὴν | βουλὴν συνκλήτου | δόγματι.

Cf. Michaelis, *Anc. Marbles*, p. 27 ; — Vidal-Lablache, *Hérode Atticus*, p. 171-172.

197. Romae. — *Insc. gr. Sic. et Ital.*, 1401 ; *C. I. L.*, VI, 12006.

Αντονιο Ποτεολα|νο φιλιο δουκισιμ|ο βεν μερτι Τ. Ατονιος Μαρινος π|ατερ φηκιτ [1].

1. Lege : Antonio Puteolano filio dulcissimo ben(e) mer(en)ti T. A(n)tonius Marinus pater fecit.

---

198. Romae, ad S. Susannam. — *Insc. gr. Sic. et Ital.*, 1402.

Θ(εοῖς) κ(αταχθονίοις). | Λ. Ἀντωι|νίῳ Ὑακίν|θῳ, Λαοδικεῖ || τῆς Ἀσίας, στρα|τηγῷ, Ἀσίαρ|χῃ [1], Εὐτύχης | ἀπελεύθερος | μνίας χάριν.

1. L. Antonius Hyacinthus fuit praetor (στρατηγός) Laodiceae, et Asiarches, i. e. sacerdos Augusti provinciae Asiae.

---

199. Romae. — *Insc. gr. Sic. et Ital.*, 1408.

Ἀπρωνιά|δι κατοι|χομένῃ | Λαδικηνῇ [1].

1. I. e. Λαοδικηνῇ, Laodicensi.

---

200. Romae. — *Insc. gr. Sic. et Ital.*, 1413.

Δ(ις) Μ(ανιβυς). Μ. Ἀργεναίῳ [1] | Εὐτάκτῳ Λειβε|ράλις ὁ ἴδιος ἀ|δελφὸς τὴν καμά||ραν μνείας χάριν | καὶ εὐεργεσιῶν και | εὐνοίας πάσης, μέ|χρις θανάτου εὐνοήσαντα, ἔτε|σιν ε' συνξενειτεύσαντα || ἔθηκα τὸν ἀδελφὸν ἐτῶν ιδ'. | Ταυ τα .

1. « Argenaeae gentis non repperi aliud exemplum » Kaibel.

---

201. Romae. — *Insc. gr. Sic. et Ital.*, 1419.

Γν. Ἀρρίωι | Στρατοκλεῖ | πλάστῃι Ἀθηναίωι | Ἀρρία Ἀρτεμισία || ἀνδρὶ τιμιωτάτ[ωι] | καὶ ἑαυτῆι ἐποί[ει].

---

202. Romae. — *Insc. gr. Sic. et Ital.*, 1420.

Ἀρτεμὼ Λακωνὶς | ἡ Σαβείνου σύνβιος
ἔτεσιν | τοσούτοις — ιδ' — ἀλλὰ νῦν | εἰς τοὺς θεούς.

203. Romae, in vinea Cavalieri. — *Insc. gr. Sic. et Ital.*, 1424.

Ἀνέρες, οἱ πάρος Αὐσονίων | πέδον εἴκετε, ξεῖνοι, |
βαιὸν ἐπὶ τραφερῇ χθονὶ δερ|κόμενοι τόδε δῶμα ‖
ἀνδρὸς ὀπιζομένου Ζηνὸς | νόον αἰγιόχοιο, |
ὅς ποτ' ἔδειξε βροτῶν πολυ|πλάγκτοισιν πραπίδεσσιν |
ψυχὴν ἀθανάτην κἀγήραον ‖ ἐκ Διὸς αἴσης, |
μάρτυρα Φοῖβον ἀμύμ(ω)σιν | <ἐν> σελίδεσσι χαράξας. |
Οὐδ' ἄρα θνητὸς ἔην, ὑπ' ἀνάγ|κης δ' ὑψιμέδοντος ‖
τύμβῳ εἰναλέῳ πεπεδημέ|νος ἤνυσεν οἶμον · |
ἐκ ῥεθέων δ' ἅμα στείχων σε|μνὸν ἔδη Διὸς οἶκον, |
Λητοίδῃ καὶ Μούσαις βωμὸν ‖ ὑπ' ἠέρι τεύξας ·
εἰητὴρ δ' ἄμ' Ἀσκληπιάδης [1] μα|κάρων τρίβον ἤει, |
χρημοσύνην δ' ἔλιπεν πολυκή|ριον ἐν νεκύεσσιν.

1. Apud medicos aetate imperatoria nomen Asclepiades non rarum; cf. Pauly-Wissowa, *Realencyclopädie,* sub v. Asclepiades, n. 37-46. « Asclepiades hic fuit medicus, librumque scripsit de immortalitate animae. » Kaibel.

---

204. Romae. — *Insc. gr. Sic. et Ital.*, 1429.

Θ(εοῖς) [κ(αταχθονίοις)]. | Ἀσκληπιόδοτος | Μαρκιανοῦ Νικο|μηδεὺς ζήσας ‖ ἔτη δέκα καὶ ἕν, | μῆνας δέκα, | ἡμέρας δέκα. |

---

205. Romae. — *Insc. gr. Sic. et Ital.*, 1430.

Θ(εοῖς) κ(αταχθονίοις). | Ἀσκληπιό[δοτο vel δωρο]|ς Theοδώρ[ου Ν]|εικομηδεὺς ζ[ή]σας ἔτε(σι) ν'....... | οιρηγινστ.... μνημε[ῖ]ον. |

« Versum sextum non expedio. Videtur nomen fuisse ejus qui posuit monumentum. » Kaibel.

---

206. Romae. — *Insc. gr. Sic. et Ital.*, 1432.

Τέρμα βίου τελέσας | παῖς [γ]άειος ἐνθάδε κεῖ|μαι,
ἀσκήσας [πάσης] εἶδος ὑπο|κρίσεως ·

ὀκτωκαίδεκ' ἔ‖τη ζήσας Ἀσκληπιόδω|ρος,
γῆς ὢν πρόσθε γό|νος μητέρα γαῖαν ἔχω.

« Asclepiodorus, ut mimus, servus erat, utque servus, nullius generis, sed terrae progenies, terrenus filius. » Kaibel (*Epigr. gr.*, n. 606).

---

207. Romae. — *Insc. gr. Sic. et Ital.*, 1832.

Θ(εοῖς) κ(αταχθονίοις). | Μαργαρίτης πάλος πρῶτος | ἀσσεδαρίων [1], εἶτα ἐπιστάτης, | Ἀταλάντῃ εἰδίᾳ ἀπελευθέρᾳ ‖ μηδὲν ὑπ' αὐτῆς λυπηθίς | μνίας χάριν. Ἔζησε ἔτη | ιη', μῆνας β', ἡμέρας ιγ' · | εὐψύχι, Ἀταλάντη · ὅσα γεννᾶτε τελευτᾷ.

1. Essedariorum. Essedarii gladiatores erant, qui pugnabant ex esseda. Quid significent verba πάλος πρῶτος, non plane liquet. De πάλῳ eruditi certant; cf. Bœckh, *C. I. Gr.*, n. 2663 et Forcellini, *Lexicon*, sub v. Palus.

---

208. Romae. — *Insc. gr. Sic. et Ital.*, 1436.

Υἱὸς ἐγὼ γενόμην Ἀγαπωμενοῦ, ᾧ με μιγεῖσα |
Κουίντα τέκεν θαλερὴ Ῥηγίῳ ἐν διερῷ [1]. |
Ἐνδυκέως δὲ τρέφοντες Ἀτείμητόν με κάλεσαν · |
δῶρα δὲ Μουσάων καὶ βρέφος ὢν ἀγαπῶν ‖
δωδεκέτης ἦλθον Ῥώμην, φίλε, τῆς με καλύπτε[ι] |
ἥδε νέον βῶλος, πατρὶ λιπόντ' ἄχεα.

1. Rhegium urbs, ad fretum Siculum sita.

---

209. Romae. — *Insc. gr. Sic. et Ital.*, 1437.

Εἰς θρήνους ἐφύλαξας | Ἀτινίαν [1], ὢ<ι> κακὲ δαῖμον, |
οὐχ ὁσίως ποινὴν εὐσεβίης κατέθου · |
Ῥουστικὸν ἡγεμονῆα [2] πόσιν καὶ παῖδα τιθηνὸν ‖
Πομπήιον μαζῷ θελγόμενον γλυκερῷ, |
Μητέρα Ταρσογενῆ Πομπηίαν ἠδὲ Πούδεντας |
υἱὸν καὶ πάππον — φεῦ θανάτων ἀνίσων · |

πάππος μὲν γενεῆς προπάτωρ πέλεν. ἠΐθεος δὲ ‖
ᾤχετ' ἔχων οὐδὲν πλὴν δακρύων πρὸ τάφου.

1. Atinia Pudentis et Pompeiae filia, Rustici uxor, Pudentis et Pompeii mater. — Cf. *Prosop. imp. rom.*, I, p. 177, n. 1099. — 2. Praeses provinciae alicujus; cf. *ibid.*, III, p. 146, n. 156.

---

210. Romae. — *Insc. gr. Sic. et Ital.*, 1574.

Ἐπαφρόδειτος | Λουκίῳ Αὐδί|ῳ [1] Καμερεί|νῳ ζήσαν‖τι ἔτη ξ'.

1. Αὔδιος respondere videtur gentilicio latino *Avidius;* nam ex titulo bilingui (*C. I. L.*, III, 218 = Lebas-Waddington, 2806), patet gentilicio *Audius* respondere nomen graecum Ὄδιος. Cf. *Prosop. imp. rom.*, I, p. 182, n. 1144.

---

211. Romae. — *Insc. gr. Sic. et Ital.*, 1443.

Αὐρήλιος | Ἀγαθίας | Σύρος μαρμαρά|ριος [1].

1. Scil. marmorarius.

---

212. Romae. — *Insc. gr. Sic. et Ital.*, 1449.

Κεῖμαι Αὐρήλιος Ἀντώ|νιος ὁ καὶ
ἱερεὺς τῶν τε | θεῶν πάντων, πρῶτον Βονα|δίης [1],
εἶτα Μητρὸς θεῶν καὶ Διο‖νύσου καὶ Ἡγεμόνος [2]·
τούτοις | ἐκτελέσας μυστήρια πάντοτε | σεμνῶς
νῦν ἔλιπον σεμνὸν | γλυκερὸν φάος ἠελίοιο·
λοιπὸ|ν μύσται εἴτε φίλοι βιότητος ἑ‖κάστης
πάνθ' ὑπολανθάνετε τὰ | βίου συνεχῶς μυστήρια σεμνά. |
οὐδεὶς γὰρ δύναται μοιρ[ῶ]ν μί|τον ἐξαναλῦσαι· |
ἔζησον γὰρ ἐγὼ Ἀντώνιος οὗ‖τος ὁ σεμνὸς
ἔτεσιν ζ' [3], ἡμέραι|σιν ιϛ'. |

Ἐποίησαν Αὐρηλεία Ἀντωνεία καὶ Αὐ|ρήλιος Ὀνήσιμος γλυκυτάτῳ τέκνῳ | μνήμης χάριν. ‖

Θ(εοῖς) χ(θονίοις).

1. I. e. Bonae deae. — 2. Hegemon nonnunquam dicitur deus Iacchos tanquam dux

pompae Eleusiniae (Roscher, *Lexikon der griech. und röm. Mythologie*, s. v. Hegemon Archegetes, n. 7). — 3. De puerili aetate Aurelii Antonii cf. Kaibel, *Epigr. gr.*, n. 587 et 588.

213. Romae. — *Insc. gr. Sic. et Ital.*, 1451.

Μ. Αὐρ. Ἀπολλώνιος [1] | ὁ καὶ Ὠριγένης, ἱππεὺς | Ῥωμαίων, τὸ κουδούκλιν [2] | ἀπήρτισα.

1. Conferendus Aur. Apollonius quidam, procurator Augusti, cui cives et incolae Apolloniae in Pisidia statuam dedicaverunt (*Prosop. imp. rom.*, I, p. 196, n. 1209). — 2. Κουδούκλιν, est cubiculum.

214. Romae. — *Insc. gr. Sic. et Ital.*, 1454.

Θ(εοῖς) κ(αταχθονίοις). | Μ. Αὐρ. Γρηγόριος Μέλας, | ἱππεὺς Ῥωμ(αίων), | πολλοῖς τὴν ἑαυτοῦ μνή||μης ἀξίαν χρηστότητα | καὶ καλοκἀγαθίαν ἐν|δειξάμενος ἔζησεν | ἔτεσι μζ΄.

215. Romae. — *Insc. gr. Sic. et Ital.*, 1455.

Πατὴρ [1] χαῖρε. |
D. M. s. | Aurel. Diogeneti | sacerdoti uene || merenti fecit | Aurelia Caenis | coiux con quem | vixit annis XXX.

1. Aurelius Diogenes fuit *pater* in Mithriacis mysteriis. Cf. Cumont, *Textes et monuments figurés relatifs au culte de Mithra*, n. 559 et p. 317.

216. Romae. — *Insc. gr. Sic. et Ital.*, 1462.

Αὐρήλιος Ἰα........ .....οντο ..... [ἐκ τῆς] | Κοίλης Συρίας [τ]οῦτον τ[ὸν .... [1]] | ἐπόησα ἐ[μαυ]τῷ ἐκ τ[ῶ]ν [ἰδί]|ων μοῦ καμάτ[ων]..?

1. ΟΥΤΟΝΤ...ΩΜΙ traditur.

217. Romae. — *Insc. gr. Sic. et Ital.*, 1464.

Αὐρήλιος Ἰσίδωρ[ος, ἱππεὺς] Ῥωμαίων, ζῶν [ἐποίησα] | ἐμαυτῷ καὶ Σαλβίῃ....... | συμβίῳ μοῦ τὸν αἰώ[νιον] || οἶκον καὶ ἀπελευ[θέροις] | καὶ τοῖς τούτων ἀπελε[υθέ|ρο]ις · εὐστάθι.

218. Romae. — *Insc. gr. Sic. et Ital.*, 1468.

Θ(εοῖς) κ(αταχθονίοις) | Μ. Αὐρηλίου | Κλεάνδρ|ου ἰατροῦ.

---

219. Romae. — *Insc. gr. Sic. et Ital.*, 1469.

Θ(εοῖς) κ(αταχθονίοις). | Μ. Αὐρηλίῳ Κράτῃ ἰατρῷ | Αἰλία Συντυχία συμβίῳ | γλυκυτάτῳ ‖ μνήας χάριν.

---

220. Romae. — *Insc. gr. Sic. et Ital.*, 1470.

Μ. Αὐρήλιος | Μακεδὼν | βετερανὸς | ἐνθάδε κεῖτε · ‖ μνείαν δέ μοι | τήνδ᾽ ε| ἠτέλεσ(αν) | υἱοὶ στοργῆς | χάριν | Αὐρήλιος Μη‖τρόδωρος καὶ Αὐρήλιος Ἄτταλος. |

---

221. Romae. — *Insc. gr. Sic. et Ital.*, 1471.

Θ(εοῖς) κ(αταχθονίοις). | Αὐρ. Νικίου | ἱππικοῦ τοῖς | <τοῖς> λιψάνοις ‖ ὁ ἀδελφὸς | Κρέων.

1. ΝΙΚΓΟΥ lapis.

---

222. Romae. — *Insc. gr. Sic. et Ital.*, 1472.

Θ(εοῖς) κ(αταχθονίοις). | Αὐρήλιος | Πάκορος, βασι|λεὺς μεγάλης Ἀρ‖μενίας [1], ἠγόρακα σαρ|κοφάγο(ν) Αὐρ. Μεριθά|τ[η] [2] ἀδελφῷ γλυκυ|τάτῳ, ζήσαντι | σὺν ἐμοὶ ἔτη ‖ νς´, μῆ(νας) β´.

1. De Aurelio Pacoro, Armeniae Majoris rege annis 161/163 p. C. n., cf. *Prosop. imp. rom.*, III, p. 5, n. 22 (s. v. Pacorus). — 2. ΜΕΡΙΘΑΤΙ lapis.

---

223. Romae, in via Praenestina. — *Insc. gr. Sic. et Ital.*, 1474 ; *C. I. L.*, VI, 10049.

M. Aur. Polynices, nat(ione) uer|na, qui uixit ann. XXIX, mens. | IX, diebus V; qui uicit palmas | n(umero) DCCXXXIX sic : in russeo n(umero) ‖ DCLV, in prasino LV, in uene|to XII, in albo n(umero) XVII; prae|mia (sestertium) XXXX (milium) n(umero) III, sestertium, XXX (milium) XXVI; pu|ra n(umero) XI, octoiug(e) n(umero) VIII, dec(emiuge) n(umero) | VIIII, seiug(e) n(umero) III. ‖

M. Aur. Mollicius Tatianus | natione uerna qui uixit ann. | XX, mens. VIII, diebus VII; qui | uic(it) palmas n(umero) CXXV sic : in rus|seo LXXXVIIII, in prasino XXIIII, || in ueneto n(umero) V, in albo n(umero) VII |; praemia (sestertium) XXXX (milium) n(umero) II |.

Θρέψε πάτρη Ῥώμη κλυτὸς ἡνίοχος Πολυνείκης [1] |
υἷε δύω Μακάριν [2] Τατιανόν τε κάσιν · |
[μοίρ]η δ' ἐν σταδίοισιν ἀγαλλομέν[ους κρατεροῖ]σ[ιν] ||
ἥρ]πασεν ὠκυμόρους · τίς φθόν[ος.......... |
Θα]ρσεῖτον, δύο παῖδε, τεθνηκ[ότε καὶ Διὸς?] υἱώ · |
[καὶ νῦν ἐπεὶ μερόπων πᾶσι μένει τὸ τέλος].

1. Polynices, nobilis auriga, pater est M. Aurelii Polynicis Macarii et M. Aurelii Mollicii Tatiani. — 2. Fratrum uterque duplici cognomine utebatur : quemadmodum Mollicio signum Tatianus, sic alteri Macarius additum erat.

---

224. Romae. — *Insc. Sic. et Ital.*, 1475.

Θ(εοῖς) (καταχθονίοις). | [Μ.] Αὐρήλιος | Πρόκλος Νικομηδεὺς || ἐνθάδε κεῖ|ται · ἔζησεν ἔτη ξ′.

---

225. Romae, in S. Lucia prope Tiberim. — *Insc. gr. Sic. et Ital.*, 1477.

Εὐμέλι [1] ζήσαις. | Μ. Αὐρήλιον | Σατουρνεῖνον [2] | τὸν λαμπρότατον || Σεπτίμιος | Ἑρμῆς | θρέψας. |

1. Eumelius, nomen sodaliciarium; cf. de Rossi, *Comment. in hon. Mommseni*, p. 705 et sqq. — 2. De M. Aurelio Saturnino, clarissimo viro, vide *Prosop. imp. rom.*, I, p. 214, n. 1300.

---

226. Romae. — *Insc. gr. Sic. et Ital.*, 1478.

Θ(εοῖς) κ(αταχθονίοις). | Μ. Αὐρη|λίῳ Σω|κράτῃ ἰατρῷ || ἀρίστῳ Αὐρη|λία Εὐτυχία | συμβίῳ γλυκυ|τάτῳ μνίας | χάριν.

---

227. Romae, extra portam Piam. — *Insc. gr. Sic. et Ital.*, 1480.

Ἐνθάδε κ[εῖτε χ]ρηστὸς ἥρως, εὐσεβέστατος ἀνήρ, Αὐρήλιος Φῆλιξ πρόξος

στρατείας] | τρεῖς, κεντηναρίαν, δουκηναρίαν, καὶ τοὺς καθ' ὅλου λόγους ἐπ[ιτροπεύσας [1].] | Κεῖται δὲ σὺν αὐτῷ υἱὸς αὐτοῦ Αὐρήλιος Ἰοῦστος, γλυκὺ πνε[ῦμα?...] | καὶ ὅσιος, πράξας στρατείας τρεῖς, σεξαγηναρίας τρο[φῶν [2]...

1. De Aurelio Felice, a tribus militiis, procuratore centenario, ducenario, et summarum rationum, cf. *Prosop. imp. rom.*, I, p. 205, n. 1247. — 2. De Aurelio Justo, a tribus militiis, procuratore sexagenario alimentorum..., cf. *ibid.*, p. 210, n. 1271.

---

228. Romae, in via Tiburtina. — *Insc. Sic. et Ital.*, 1487.

Αὐρ. Κύ[ρι]λλα[ν] | τὴν | καὶ Ὑπερεχίαν | τὴ[ν] ἑαυτοῦ ἐκγό|νη[ν] Αὐρ. Νεί|κανδρος ὁ λαμ|πρό(τατος) [1] δυστυχὴς | πάππος.

1. Vir clarissimus.

---

229. Romae. — *Insc. gr. Sic. et Ital.*, 1488.

Θ(εοῖς) κ(αταχθονίοις). | Αὐρηλία Προσόδῳ | Διοσκουρίδης ἀνὴρ | τῇ [ἑ]αυτοῦ [1] συνβίῳ ‖ χρηστοτάτη καὶ γλυκυτά|τη μνίας χάριν · | εὐψύχει, κυρία, | καὶ δοί(η) σοι ὁ | Ὄσιρις τὸ ψυχρὸν ὕδωρ ‖ · ἐπόησε ἑαυτῷ | καὶ ἀπελευθέρων ἀπελευθέροις.

1. ΗΑΥΤΟΥ lapis.

---

230. Romae. — *Insc. gr. Sic. et Ital.*, 1490.

Αὐρηλίαι Τατίαι | Θυατιρηνῆι τῆι | σωφρονεστάτηι | γυναικὶ ‖ Πακούβιος | Φρόντων |.

In titulo quodam Thyatireno (*C. I. G.*, 3489) altera Aurelia Tatia occurrit, L. Aurelii Aristomenis conjux.

---

231. Romae. — *Insc. gr. Sic. et Ital.*, 1492.

Δ. Μ. σ. Ἀβρελιανα [1] φιλια Ιυστι uixit αννος VIII μενσες IIII διες III.

1. Id est : Aureliana.

232. Romae. — *Insc. gr. Sic. et Ital.*, 1494.

Ἀφροδίσιος Δημητρίου ὁ καὶ | Ἐπαφρᾶς ἀγαλματοποιὸς | ἐνκαυστὴς [1] καὶ Ἱλάρα ἀπελε[υ]|θέρα καὶ Ἰούλιος Ἀντίοχος |......................

1. De hoc Aphrodisio, ἀγαλματοποιῷ καὶ ἐγκαυστῇ, cf. Loewy, *Inschr. griech. Bildhauer*, n. 551, p. 376-377. Fortasse idem est atque Aphrodisius Trallianus apud Plinium memoratus (*Hist. nat.*, XXXVI, 38).

---

233. Romae. — *Insc. gr. Sic. et Ital.*, 1500.

Νικαίης προλιπὼν | Βιθυνίδος ὢν ἔτι κοῦρος |
ἄστυ κλυτὸν, γαίην | ἦλθον ἐς Αὐσονίων · |
Ῥώμῃ δ' ἐν ζαθέῃ ψήφο[υς] καὶ μέτρα διδάξας [1].
μνῆμ' ἔλαχον Βασιλεύ[ς], ἔργον ἐμῆς πραπίδος [2].

1. Basileus Romae mathematicam professus est. — 2. « Intelligo : sepulchrum nactus sum, quod mihi ex ingenio quaestu facto ipse comparavi. » Kaibel (*Epigr.*, 597).

---

234. Romae. — *Insc. gr. Sic. et Ital.*, 1503.

Θ(εοῖς) κ(αταχθονίοις) | Βασιλίσυ | Νέκον [1] χά|ριν ἐπύη|σεν [2] Μ. Αὐρ. | Διονύσις | ἀδελφῷ. | Ἰς ἐῶνα Βενετιανοὺς πρίν|κιπς [3].

1. Non intelligitur; νε(ι)κ(ῶ)ν proponit Haussoullier dubitans. — 2. Scil. ἐποίησεν. — 3. Ultima verba : ἰς ἐῶνα βενετιανοὺς πρίνκιπς in margine inferiore lapidis scripta sunt. Quid significent, latet. Dubium est utrum πρίνκιπς an πρίνκιπι legendum sit, utrum βενετιανούς an βενετιανοῦ σ(υστήματος). Kaibel ita interpretatur : semper Venetis, princeps, fave !

---

235. Romae. — *Insc. gr. Sic. et Ital.*, 1512.

D. M. s. |

Ἐνθάδε Γαιωνᾶς, ὃς Κισ|τιβερ [1] ἦν ποτε Ῥώμης |
καὶ δείπνοις κρείνας | πολλὰ μετ' εὐφροσύνης.
κ[ε]ῖμαι τῷ θανάτῳ | μηδὲν ὀφειλόμενος.

Gaionas animula. |

1. De Cistiberibus, cf. supra n. 70.

236. Romae. — *Insc. gr. Sic. et Ital.*, 1515.

Θ(εοῖς) κ(αταχθονίοις). | Λουκίου Γε|λλίου Πετικ|[ι]ανοῦ Τυνδα|ρείτου τάφος | ἔτη βιώσαντος | κϐ´ ὃν ἐκήδευσεν | ἀδελφὸς συνκαμών.

---

237. Romae. — *Insc. gr. Sic. et Ital.*, 1516.

Γεμελλο βενε μερεντι βισιτ ανος XL | κουν κοζου[γ]ε σουα αννις VIIII Ζουλια [1].

1. Sic legendum : Gemello bene merenti (qui) vixit annis XL, cum conjuge sua annis IX, Julia (fecit).

---

238. Romae. — *Insc. gr. Sic. et Ital.*, 1525; — *C. I. L.*, VI, 9829.

Γλύκωνι διδασκάλωι. | C. B... Theaetetus et | C. B... Agapηtus et | B... Fellica Glyconis | patri pientissimo | libertis libertabusque | p. suis f.

---

239. Romae. — *Insc. gr. Sic. et Ital.*, 1529.

Ἐνθάδε κεῖτε | Δέδαλος ἐτῶν | κε´ κοῦρος ἀνὴρ | ἀπείρατος Κύ|πριδος ἀμερίης · | Φρόντων εἰατὴρ | ἐνωμοτωι [1] ἀνέθηκεν.

1. Sic in lapide; Kaibel opinatur legendum esse αἰνομόρωι.

---

240. Romae. — *Insc. gr. Sic. et Ital.*, 1659; — *C. I. L.*, VI, 27361 a.

D. M. | Θησεὺς | Περγαμηνὸς | Δημητριανῷ | υἱῷ | μνείας χάριν.

---

241. Romae. — *Insc. gr. Sic. et Ital.*, 1536.

Θ(εοῖς) κ(αταχθονίοις). | Δημητρίῳ κωμῳδῷ [1] | ὃς ἔζησεν ἔτη κα´, | μῆνες θ´, ἡμέρας ιδ´. | Εὐψύχει, Δημ[ή]τριε · | οὐδεὶς ἀθάνατος. | Μνήμης εἵνεκεν.

In parte aversa :

Amantissimo | filio Theodulo | mater contra | votum fecit.

1. An non idem atque Demetrius ille, comoediarum actor, Quintiliani aequalis? (*Instit. orat.*, XI, 3, § 178, 179; cf. Juven. *Satir.*, III, 99). Vide *Prosop. imp. rom.*, II, p. 6, n. 34.

242. Romae. — *Insc. gr. Sic. et Ital.*, 1612.

D. M. | Euresin enthade | ge catechi tha|natoeo lachusa(n) || metera ten eu-te|chnon ; eudemones | parhoditae [1].

1. Titulus graecus, litterae latinae :

D(is) M(anibus).

Εὕρεσιν ἐνθάδε | γῆ κατέχι θα|νάτο[ι]ο λαχοῦσαν |
μητέρα τὴν εὔτε|χνον · εὐδέμονες, | παρόδιται.

---

243. Romae. — *Bullett. comun.*, 1899, p. 161.

Θ(εοῖς) Δαίμοσιν. | Εὐτυχειανῷ ἀ|πελευθέρῳ τειμι|ωτάτῳ Ἀντώνιος || Ἴβηρος [1] μνήμης | χάριν.

1. Antonium Hiberum quemdam novimus, consulem anno 133 p. C. n. eumdemque fortasse legatum pro praetore provinciae Moesiae inferioris. Cf. *Prosop. imp. rom.*, I, p. 100, n. 667, 668.

---

244. Romae. — *Insc. gr. Sic. et Ital.*, 1618.

Κῆρυξ καὶ τάφος εἰμὶ | βροτοῦ πάρος ἀρχεχόροιο [1] |
Εὐτύχους αἰάζων κῆ|ρα μινυνθάδιον, ||
ὃς θνητοῖς ψυχὴν πεί|σας ἐπὶ σώμασιν ἐλθεῖν |
τὴν αὑτοῦ μέλεος οὐκ ἀν|έπεισε μένειν [2]. |

1. Ἀρχέχορος = choragus. — 2. « Sententia arguta parum bene expresse. Explicat Wilamowitz : *is qui mortalibus corporibus animam (alienam) indidit suam tenere non potuit*. Sed haec si recte intellego, non coryphaei sunt, sed chorodidascali vel poetae ; intellego : *qui cum animos audientium curis distractos ad corpora revocaret, suum* (i. e. *suam animam*) *ne manere quidem in corpore cogere posset.* » Kaibel (*Epigr.*, n. 603).

---

245. Romae. — *Insc. gr. Sic. et Ital.*, 1537 ; — *C. I. L.*, VI, 16843.

D. M. | Didio Taxiarche lib. fidelissimo |.

Τυτθὸν ἐμὸν παρὰ τύμβον ἐπεὶ | μόλες, ὦ ξένε, βαιὸν
στῆσον ἴχνος || παύροις γράμμασιν εἰσορόων · |
ζωὸς ἐὼν Μούσαισιν ὁ μείλεον | ἐν δέ τε παίδων
εὐγενέων ἱερῆς | ἦρξα διδασκαλίης · |

καὶ δὴ καλεύμην Ταξιάρχης ἐν βροτοῖς · ‖
οὐ γὰρ ἐν ἑξαμέτροισιν ἥρμοσεν | τοὔνομ᾽ ἐμόν.

---

246. Romae. — *Insc. gr. Sic. et Ital.*, 1561.

Θρέψε μ᾽ Ἀλεξάνδρεια, μέτοικον ἔθ[αψε δὲ Ῥώμη,] |
αἱ κόσμου καὶ γῆς, ὦ ξένε, μη[τροπόλεις,] |
πάντων μὲν μακάρων ἁγνὴν λά[τριν · ἡ δὲ μ᾽ ἐπαινὴ] |
γήραος ἐκ δολιχοῦ ῥύσατο Φ[ερσεφόνη.] ‖
Εἰ καὶ γηροκόμος με σοφὴ διέσω[σεν ἀδελφή,] |
ἀλλ᾽ οὖν εὐσεβέων ἄσμενος α[ὖλιν ἔβην.] |
Τοιγάρ, ἄνασσ᾽, ἣν πρόσθε[ν] ὑπ᾽ αἰ[θέρος ἤνεσας αὐγαῖς,] |
πὰρ ποσὶ σοῖς εὔφρων δ[έ]ξο Δ....

---

247. Romae. — *Insc. gr. Sic. et Ital.*, 1664.

Θεοῖς καταχ(θονίοις) |. Εἰδομενεῖ | κοιτωνείτη | Καίσαρος [1] ἐτῶν ‖ κε´, βιώσαντι τὸν | πάντα χρόνον | ἱλαρῶς, | Ἀμφήριστος | κοιτωνείτης Καίσ(αρος) [1] ‖ συντρόφῳ ἀγαθῷ |, εὐσεβεῖ περὶ θεοὺς | καὶ ἀνθρώπους, | ἐκ τοῦ ἰδίου | ἐποίησεν.

1. Idomeneus et Ampheristos erant ambo *cubicularii* vel *a cubiculo Caesaris.*

---

248. Romae, ad pontem Milvium. — *Insc. gr. Sic. et Ital.*, 1566.

Ἐλπιδηφόρῳ | ζήσαντι κα|λῶς ἔτη κδ´ | μνήμης χά‖ριν Νείκων | ἐπόησεν · | κολληγίου Σωζομέ|νου [1].

1. « Elpidephorus videtur ascriptus fuisse collegio funeraticio a Sozomeno quodam constituto, quanquam singulare est collegium ab uno aliquo homine cognominatum ; minime persuasit de Rossi verba esse acclamantis (salvo collegio = κολληγίου σωζομένου) boni ominis causa ad sodales superstites facta. » Kaibel.

---

249. Romae (?). — *Insc. gr. Sic. et Ital.*, 1569.

Ἐλπὶς ἔμοι γ᾽ ὄνομ᾽ ἐ[στ]ὶ | πατρὶς δ᾽ Ἀσίης προὔχουσα |
Λαοδίκει᾽ · ἔθανον δ᾽ ὀκ[τω]|καιδεκέτις.

250. Romae. — *Insc. gr. Sic. et Ital.*, 1575. Periit.

Θ(εοῖς) κ(αταχθονίοις). | Ἔπαφρυς Κρὴς Πολυρρήνιος ὁ καὶ Κισσά|μιος [1] ἐνθάδε κ|ῖμαι ἐτῶν κδ΄, | μηνῶν ι΄ · Ἀντιπόλιος [2] | πατὴρ | <ἐποί‖ει> μνήμης | χάριν ἐποίει.

1. Polyrrhenia et Cisamos, insulae Cretae urbes. — 2. Ἀντί[γ]ο[ν]ος proponit Haussoullier.

---

251. Romae. — *Insc. gr. Sic. et Ital.*, 1577.

Θ(εοῖς) κ(αταχθονίοις). | Ἐρασείνῳ οἰκέ|τῃ [1] τειμίῳ κα|τὰ κέλευσιν ‖ τῆς δεσποίνης | μνείας χάριν |, ζήσαντι κοσ|μίως ἔτη μ΄. |

1. Οἰκέτης = servus domesticus.

---

252. Romae, in via *dei banchi vecchi*. — *Insc. gr. Sic. et Ital.*, 1589.

[? Μουσά]ων θεράπων, ἀνὴ[ρ | σ]οφὸς ἐνθάδε κεῖμαι |
[Ἑρ]μοκράτης, ἀγαθὸς | [γεν]εῇ ?, πάτρης ἀπὸ Τάρσ[ου] ‖
.... σισι λόγοις ταμιείῳ [1] ....

1. « Videtur sophista ille fuisse et apud Tarsenses quaestorio munere functus. » Kaibel.

---

253. Romae, ante portam S Sebastiani. — *Insc. gr. Sic. et Ital.*, 1595; *C. I. L.*, VI, 18175.

D. M.

Χρηστὸς τέθαπ|τ᾽ Εὔβουλος ἐν|θάδε ξένος, ‖
ἑταῖρος ἀγα|θός, χρυσοχό|ος Κορίνθιος. |
Εὔβουλος μὲν ἔγω|γε, πατρὶς δέ μοί ‖ ἐστι Κόρινθος, |
καὶ προχοαῖς χαί|ρω ταῖς ἀπ᾽ [ἐ]|μῶν ἑτάρων. |

T. Flauius ‖ Priscus et | Capito fece|runt.

---

254. Romae. — *Insc. gr. Sic. et Ital.*, 1598.

Θ(εοῖς) κ(αταχθονίοις). | Εὔδαμος | Κάστορος | Ἀφροδεισεύς · ‖ [χ]αῖρε. |

255. Romae, in Aventino. — *Insc. gr. Sic. et Ital.*, 1603.

— Στήλη μαρμαρέη, | τίνος εἶ τάφος; | — Ὠκέος ἵππου.|
— Τίς δ' ὄνομα; — Εὐθύδικος ‖ — Τί κλέος; — Ἀθλοφόρος. |
— Ποσάκις ἐστέφθης δρόμον; | — Πολλάκις [1]. — Τίς δ' ἔλαέν μιν; |
— Κοίρανος [2]. — Ὦ τιμῆς | κρέσσ[ο]νος ‖ ἡμιθέων.

1. « Verum numerum cum versus non caperet, posuit poeta πολλάκις, quod si non metro, at numeris satisfacere videbatur. » Kaibel. — 2. Κοίρανος fuit auriga.

---

256. Romae. — *Insc. gr. Sic. et Ital.*, 1604.

[Εὐθυτ]όνῳ Τιβουρτ[ίνῳ [1]]. |
[Ἐνθάδε] κεῖμαι πᾶσι φίλ[οις στονα|χὰς κατα]λείψας,
ἐν κλειτῇ Ῥώμῃ | τοῖς Πρ]ασίνοις<ν> ἀρέσας, ‖
[......] θαλερὸν στέφος Ἡρακλῆο[ς... |
....]οντα ἐνὶ στήθεσσι κά|λυψε τὸ πάνσοφο[ν ἦθος |
.....] νῦν μνησθῆτε [... | ... ἐπ]ίδιξις ἃ ζωὸς ζωο[ῖς
ἐπέ‖δειξα βρο]τοῖσι, μέμνησθε λό|γων | οὓς
...] ζωὸς ἔλεξα Εὐθύ|τονος · πᾶσιν ἔπ(ε)ισιν [2].

1. « Videtur epitaphium Euthytoni Tiburtini, qui omnibus amicus omnibusque placuisse dicitur, et athletarum certamine vicit..... Hortatur superstites ne immemores sint eorum quae ipse vivus vivis ἐπέδειξε, meminerintque quae locutus sit. » Kaibel (*Epigr.*, n. 724). — 2. Intellige ὁ θάνατος. Carminum divisio non satis liquet.

---

257. Romae, in coemeterio Priscillae. — *Insc. gr. Sic. et Ital.*, 1608.

Ευπορυς [1] | Ουρβικω φι|λιω βενε με|ρεντι φηκι.

1. Sic in lapide : ΕΥΠΟΡVS. Lege : Euporus Urbico filio bene merenti feci.

---

258. Romae, in herma acephalo. — *Insc. gr. Sic. et Ital.*, 1627. — Periit.

Θ(εοῖς) κ(αταχθονίοις). |
Πατρὶς ἐμοὶ Ζήνω|νι μακαρτάτη ἔστ' Ἀφροδ|[ι]σιάς ·

πολλὰ δὲ ἄστεα πισ|τὸς ‖ ἐμαῖσι τέχναισι διελθὼν |
καὶ τεύξας Ζήνωνι νέῳ | προτεθνηκότι παιδὶ |
τύμβον καὶ στήλην καὶ | εἰκόνας αὐτὸς ἔγλυψα ‖
ταῖσιν ἐμαῖς παλάμαισι | τεχνασσάμενος κλυτὸν | ἔργον.
[Ἔ]νθα φίλῃ ἀλό|χῳ Κλ[ε]ίνῃ καὶ παιδὶ | φίλοισ[ι]
τεῦξα τάφον, ‖ ζήσας [ἐτέ]ων κύκλα τε[τ|ρά]κι δέκα.
Ἐνθάδε νῦν [κε]ίμεσθα ἄλ[αλ]οι | [ψυ]χὰς ὀλέσαντες,
κ[αὶ] πα[ῖς] καὶ ἄλοχος καὶ ἐ[γὼ] ‖ κ[λ]υτο<σ>εργὸς ὑπάρ[χων].

259. Romae. — *Insc. gr. Sic. et Ital.*, 1628.

Ζω[ί]λος ἡ|νιόχων π|ροφερέστ|ατος ἐνθάδε ‖ κεῖται.

260. Romae. — *Insc. gr. Sic. et Ital.*, 1630.

Ζώσιμος | Νεικομηδεύς.

261. Romae, in columbario vineae Codiniorum. — *Insc. gr. Sic. et Ital.*, 1636; *C. I. L.*, VI, 5207.

a. Ἥδυκος [1] Εὐόδου | πρεσβευτὴς Φανα|γορειτῶν τῶν κα|τὰ Βοὸς πόρον. |
b. Ἄσπουργος Βιομ|άσου υἱὸς ἑρμηνε|ὺς [2] Σαρματῶν Βω|σπορανός.

1. Nomen Ἡδύκων non semel legitur in titulis bosporanis; cf. B. Latyschew. *Insc. orae sept. Ponti Euxini*, I, 189 et II, 434. — 2. I. e. interpres. — De Phanagoria et regno bosporano et Sarmatis sub imperio Romanorum, cf. Mommsen, *Röm. Geschichte*, V, ed. III, p. 289-294.

262. Romae. — *Insc. gr. Sic. et Ital.*, 1642.

Θ(εοῖς) κ(αταχθονίοις) |
Μήπω γευσάμενος ἥβης | ὤλισθον ἐς Ἅδου
δάκρυα | καὶ στοναχὰς λείψας αἰῶνι γο|νεῦσιν
δύσμορος, οὐδ' ἐνόησα | βροτῶν ψαῦσαι βιότοιο·
ἑπτὰ | μόνους λυκάβαντας δύω | καὶ μῆνας ἔζησα,

ὧν τρεῖς [1] | ἐξετέλουν Διονύσῳ ὄργια βά‖ζων ·
Ἡρόφιλον δ' ἐκάλουν με | πατὴρ καὶ πότνια μήτηρ.
Ἔ|γνως, ὦ παροδεῖτα, τίς ἤμην · | οὐκ ἐγενήθην |.

1. « Intellige : tres menses » Kaibel (*Epigr.*, n. 587).

263. Romae. — *Insc. gr. Sic. et Ital.*, 1648.

[Ἐτῶν ὀ]κτωκαιδεκτὼ μονογενῆ καὶ παρθένον |
[Θεοδο]σίαν ἔθαψε Δωρόθεος πατήρ, |
[ἣν μ]ελλόνυμφον Τυβὶ μηνὸς εἰκάδι [1] |
[εἷλες, π]ονηρὲ δαῖμον, ὃς τὸν ἔμπαλιν ‖
[οἶ νόσ]τον οὐκ ἔκλωσας, ὥσπερ ἤλπισε. |
[Ὀκτω]καιδεχέτης, ἔτι παρθένος, οἰογένεια |
[Θεο]δοσία κεῖται Δωροθέου θυγάτηρ · |
[ἀλλ' ὦ ν]ηλεόθυμε Χάρον, τί σε τόσσον ἐνηὴς |
[τέρ]ψε λιποῦσα πατρὶ πένθος ἀπειρέσιον ‖

Kalupso ann. XVIII. |

1. Dies xx mensis aegyptii Tubi respondet diei xv mensis Januarii.

264. Romae. — *Insc. gr. Sic. et Ital.*, 1652.

Βενε μερεντι φιλιε | Θεοδωρε κυε βιξιτ | μησις XI διης XVII...

Legendum : Bene merenti filiae Theodorae, quae vixit menses XI dies XVII.

265. Romae. — *Insc. gr. Sic. et Ital.*, 1655.

Θεοφίλου. Ουξωρ βενε μερεν|τι φηκιτ.

266. Romae. — *Insc. gr. Sic. et Ital.*, 1661.

Θ(εοῖς) κ(αταχθονίοις). | Ἰαμοὺρ Ἀσάμου | Σύρος Ἀσκαλω|νείτης Παλαι‖στείνη, ἀδελ|φὸς Ἀντωνεί|νου, στρατιώ|της χόρ(τη)ς η' πρ(αιτωρίας) [1].

1. Nota militem praetorianum nomine mere barbarico designatum.

267. Romae. — *Insc. gr. Sic. et Ital.*, 1674.

[Γάιος Ἰού]λιος Γαίου Φαβ(ία) | [Ἀρταβάσδη]ς [1] Ἀρταβάσδου | [..... υ]ἱὸς, βασιλέως | [Ἀριοβαρζάν]ου [2] υἱωνὸς, || ὃς ἔζησ]εν ἐνιαυτ(οὺς) λθ'. |

[C. Iulius C. f. Fab.] Artabasdes, | [Artabasdis fili]us, regis Ariobarzanis | [nepos, qui uixi]t annos XXXVIIII.

1. De C. Julio C. f. Fab. Artabasde cf. *Prosop. imp. rom.*, I, p. 151, n. 959. — 2. Ariobarzanes avus, rex Mediae et Armeniae ab Augusto datus, memoratus in *Indice rerum gestarum* (c. 33). Cf. *ibid.*, p. 130, n. 857.

---

268. Romae, in Esquilino. — *Insc. gr. Sic. et Ital.*, 1675.

Γ. Ἰουλίου | Βάσσου | ῥήτορος [1].

1. C. Julius Bassus rhetor, rhetoris Senecae aequalis; cf. *Prosop. imp. rom.*, II, p. 171, n. 132.

---

269. Romae, extra portam Pincianam. — *Insc. gr. Sic. et Ital.*, 1680.

[Γάι]ος Ἰούλιος Θεμίσων | [Τρ]αλλιανὸς ἰατρὸς [1], | [Τι]βερίου Ἰουλίου Ἀρώγου | [υἱ]ὸς Τραλλιανοῦ.

1. De medicis Trallianis Romae morantibus cf. O. Rayet, *Milet et le Golfe Latmique*, p. 108 et seqq.

---

270. Romae. — *Insc. gr. Sic. et Ital.*, 1683.

Δαίμοσιν εὐσεβέσιν Γαίου | Ἰουλίου Καρακουττίου |
ποίησεν Κασία, τῷ τειμίῳ | καὶ ἀξίῳ ἀνδρί · ||
πᾶσι φίλος θνητοῖς εἴς τ' ἀ|θανάτους δεισιδαίμων |
κοιμᾶται Καρακοῦττις | ἔχων μνήμην διὰ παντὸς, |
τέρψας σύνκλητον, ματρώ|νας καὶ βασιλῆας, |
εὐφρανθεὶς ἐφ' ὅσον Μοῖραι χρό|νον ὥρισαν αὐτῷ |
εὐσεβίης ἕνεκεν δοξασθεὶς | καὶ μετὰ λήθην.

« Mimum fuisse hunc C. Julium Caracuttim vel Caracuttium ex vv. 9 et 10 optime collegit Welcker, collatis Ovidii versibus, in *Trist.*, II, 501 :

Nubilis hos virgo matronaque virque puerque
Spectat et e magna parte senatus adest. »

Kaibel (*Epigr. gr.*, n. 607).

---

271. Romae. — *Insc. gr. Sic. et Ital.*, 1684.

Ἰουλίῳ Κνώσῳ [1] | σοφιστῇ | καὶ φίλῳ ἀγαθῷ | Φλ. Οὐάλης ‖ οὕτως βουληθέντι | ἐποίησεν. |

1. « *Cnosus* cognomen non magis mirum quam *Cnidus*, quod saepius invenitur. » Kaibel.

---

272. Romae. — *Insc. gr. Sic. et Ital.*, 1691.

Θ(εοῖς) κ(αταχθονίοις). | Γ. Ἰουλίῳ | Σωσιβίῳ, | ζήσας ἔτη ιθ', ‖ ἡμέρας ιγ', | ἐποίησεν | Πετρώνιος | Σερῆνος | πατὴρ ‖ Λακεδαιμό|νιος.

---

273. Romae. — *Insc. gr. Sic. et Ital.*, 1692.

Δις Μαν(ιβυς). | Γ. Ιουλιους Τ[ε]λεσφορος [1] | φηκετ ετ σιβι ετ σου|εις λειβερτεις λειβερταβο‖υσκε εωρυμ. Τερεντια Ακτη | φηκετ Τερεντιω Ανεικητω ετ λει|βερτω ετ κονιουγει βενεμερεντει ετ σι|βι ετ σουεις λειβερτεις λειβερταβουσκ|ε εωρουμ. Οκ μονομεντου ηδεφικατου ‖ ες κομουνε [2] αβ Ιουνιω [3] Τελεσφορω ετ | Τερεντια Ακτη.

1. Τιλεσφορος traditur. — 2. I. e : Hoc monumentum aedificatum est commune. Nota lapicidae errorem, qui eidem viro nomen gentilicium diversum scil. C. *Julium* Telesphorum (v. 2), et *Junium* Telesphorum (v. 10) attribuit.

---

274. Romae. — *Insc. gr. Sic. et Ital.*, 1698.

Θ(εοῖς) κ(αταχθονίοις). | Ἰουλίᾳ | Ἀπολλωνίᾳ | μητρὶ ἱππι‖κῶν [1] ὁ σύμβιος | ἐποίησεν | μνείας χάριν.

1. Scil. matri filiorum qui ad equestrem dignitatem pervenerunt.

---

275. Romae, in via Tusculana. — *Insc. gr. Sic. et Ital.*, 1703; *C. I. L.*, VI, 20548.

Iuliae C. fil. Laudice et T. Fla[uio] | Aug. lib. Alcimo parentib. opti[mis] | Flauia T. fil. Titiane fecit et sibi | libertis libertabusq. suis ‖

Οὐ δολιχὴ παρ' ὁδόν σε γραφὴ στηλεῖδος ἐρύξει · |
στῆθι καὶ ἥτις ἐγὼν ἔνθα μαθὼν ἄπιθι · |
Λαυδίκη οὔνομά μοι, πατρὶς Σάμη, Ἄλκιμος ἀνήρ. |
Θῆλυ τέκος, μήτηρ καὶ τριχὶ γηραλέη, |
σὺν δὲ κασίγνητος καὶ ἀδελφεή, οὕσπερ ἅπαντας ||
ἐς φάος ἠελίου κάλλιπον ὠκύμορος, |
οὐ πυρετοῖς φλεχθεῖσα, νόσων ἄτερ, οὐ μελεδώναις, |
....β]όρος δὲ ἀφάτως λαιμὸς ἔκλεισε πνοάς. |

V. 12 : « ἰχθυβόρος vel μηλοβόρος. » Kaibel.

---

276. Romae. — *Insc. gr. Sic. et Ital.*, 1705 ; *C. I. L.*, VI, 20616.

D. M. | Iulia Politice. | Doe se | Osiris || to psycron | hydor.

Titulus graecus latinis litteris scriptus. Est : Δότη σε Ὄσιρις τὸ ψύχρον ὕδωρ.

---

277. Romae, ad portam S. Sebastiani. — *Insc. gr. Sic. et Ital.*, 1717.

Λούκιος Ἰούνιος | Εὐήμερος | ὀργανοποιὸς | ὧδε ἀναπάεται [1].

1. Sic lapis ; intellige : ἀναπαύεται, i. e. requiescit.

---

278. Romae. — *Notizie degli scavi*, 1892, p. 345.

Ἐνθάδε κεῖτε | Καίλιος Κυείντος Φιλοπάτωρ β΄, ἄρχων [1], ἐτῶν ι γ΄ [2], παῖς ε[ὐφ]ραῖος [3].

1. Quae fuerit haec ἀρχὴ non liquet. — 2. IΓ Borsari. — 3. Sic Borsari ; [ὡ]ραῖος potius legendum putat Haussoullier.

---

279. Romae. — *Insc. gr. Sic. et Ital.*, 1728.

Τῷδ' ἐνὶ τυμβῳ [ἐγὼ] κεῖμαι παίδων ὄχ' ἄριστος · |
οὔνομά μοι Κάλλιστος, ἔχω δὲ γένος Συρίηθεν.
ἔνδεχ' ἔτη [τελέ]σας, δωδ[εκ]άτου δ' ἐπιβάς ·
μηδὲν ἐν ἀνθρώποισι [κ]ακὸν γνούς, μ[η]δὲ βιαίου? |
μικροτάτου μύστης, ἀλλ' ἀκέραιος ἔτι, |

παιδείαισι καλαῖς καὶ γ[υμ]νασίοις παρεδρεύων |
ἔσχα τέλος ζωῆς, μοῖρα[ι μίτο]ν? ὡς ἐπέκλωσαν. |
Μνημεῖον τόδε μοι [π]οίσεν? θρέψασα γλυκεῖα |
Φαυστεῖνα μητρὸς πλεῖον ἐμοὶ φιλίη, ||
ἣ καὶ ζῶντα φίλησεν ἀεὶ θανέοντά τ' ἔτεισε.

---

280. Romae, ad Quirinalem. — *Insc. gr. Sic. et Ital.*, 1732.

Καμπᾶς [1]. | Θ(εοῖς) κ(αταχθονίοις). Χαῖρε, παροδεῖτα. | Καλπουρνία Ζωτικὴ Γ. Κ||αλπ. Ζωτικῷ | συμβίῳ ἀσυ|νκρίτῳ, συ|μβιώσαντι | ἔτη κγ', μνεί||ας χάριν.

1. « Καμπᾶς fortasse nomen sodaliciarium, i. e. *Campanus.* » Kaibel.

---

281. Romae. — *Insc. gr. Sic. et Ital.*, 1397; *C. I. L.*, VI, 11933.

Αντισθεια Πισ|τη φηκιτ μα|ρειτω μεω | Κανιω Κοδρα||τω δυλκισσι|μω ετ φειλι|αι Κλαυδειαι | Σαβειναι κα|ρισσιμε.

Titulus latinus graecis litteris scriptus. Lege : Antistia Piste fecit marito meo Canio Quadrato dulcissimo et filiae Claudiae Sabinae carissimae.

---

282. Romae. — *Insc. gr. Sic. et Ital.*, 1750.

Κλαύδιος ἰητὴρ Ἀγαθήμερος [1] ἐνθάδε κεῖμαι, |
παντοίης δεδαὼς κραιπνὸν ἄκεσμα νόσου · |
ξυνὸν τοῦτο δ' ἐμοὶ καὶ Μυρτάλῃ εἶσα συνεύνωι
μνῆμα · μετ' εὐσεβέων δ' ἐσμὲν ἐν Ἠλυσίωι.

1. De Claudio Agathemero, qui fuit Persii poetae sodalis, cf. *Prosop. imp. rom.*, I, p. 348, n. 633.

---

283. Romae, ad radices Capitolii. — *Insc. gr. Sic. et Ital.*, 1751.

Τι. Κλαυδίῳ | Ἀλκίμῳ ἰατρῷ | Καίσαρος [1] ἐποί|ησε Ῥεστιτο||ῦτα πάτρω|νι καὶ καθηγ|ητῇ ἀγαθῷ καὶ ἀξίῳ · ἔζη ἔτη | πδ'.

1. I. e. medico Caesaris.

284. Romae, extra portam S. Joannis. — *Insc. gr. Sic. et Ital.*, 1755.

[Θ(εοῖς)] κ(αταχθονίοις). | Χαίρετε παροδεῖται. | Κλ. Ζόσιμος ἰατρὸς | Ἐφέσιος ‖ Κλ. Συνέργῳ υἱῷ | ἥρωι μνήμης χάριν, ἔτ(ων) κβʹ.

285. Romae. — *Insc. gr. Sic. et Ital.*, 1757.

Κλαυδίωι Λακρίτωι | ἰατρῶι.

286. Romae, in via Ostiensi ad alterum ab Urbe lapidem. — *Insc. gr. Sic. et Ital.*, 1759.

Τιβερίωι Κλαυδίωι | Κουιρείναι | Μενεκράτει [1] ἰατρῶι | Καισάρων [2] καὶ ἰδίας ‖ λογικῆς ἐναργοῦς | ἰατρικῆς κτίστηι ἐν | βιβλίοις ρνϛʹ, δι' ὧν | ἐτειμήθη ὑπὸ τῶν ἐν|λογίμων πόλεων ψηφίσ‖μασιν ἐντελέσι. οἱ γνώριμοι | τῶι ἑαυτῶν αἱρεσιάρχηι τὸ ἡρῷον.

1. De Tib. Claudio Menecrate cf. *Prosop. imp. rom.*, I, p. 388, n. 749. Idem esse videtur atque Menecrates, a Galeno saepe memoratus, qui Tiberii vel Claudii imperatoris medicus fuit. — 2. Scil. domus Augustae aut duorum Augustorum patris et deinde, patre defuncto, filii.

287. Romae. — *Insc. gr. Sic. et Ital.*, 1761.

Τι Κλ. Ὀψίμῳ ἀπελ(ευθέρῳ) | Καίσ(αρος) Τι. Κλ. Βειτάλιος | θρέψαντι ἀξίῳ | ἐποίησεν. ‖

Θ(εοῖς) κατ(αχθονίοις). | Κλαυδίᾳ | Θαλλούσῃ | μητρὶ | ἐντείμῳ ‖ Τιβ. Κλ. | Οὐιτάλιος | υἱὸς | ἐποίει.

Nota Tib. Claudium v. 2 Βειτάλιος, v. 11 Οὐιτάλιος dictum; utrumque respondet cognomini Vitalis.

288. Romae. — *Insc. gr. Sic. et Ital.*, 1323.

Ἀγλαὶς Κλαυδία ἀπελευθ(έρα) | Βαλβίλ(λ)ου [1] ἔθηκεν τῷ ἰ|δί[ῳ] ἀνδρὶ Ἡρακλε(ῖ) μνή|μης χάριν · ἔζησεν ἔ|τη... μῆν(ας) [ηʹ]. | Εἰς τὸ μνημῆν [2] Λαίδος | Εἰουλίας.

1. De Claudio Balbillo, praefecto Aegypti Neronis temporibus, cf. *Prosop. imp. rom.*, I, p. 360, n. 662. — 2. Scil. μνημεῖον.

289. Romae. — *Insc. gr. Sic. et Ital.*, 1771.

Θ(εοῖς) κ(αταχθονίοις). | Κλ. Μαρινιανὴ ζῶσα τὸ | μνημῖον κατασκεύασεν ἑ|αυτῇ καὶ τῷ γλυκυτάτῳ ‖ ἀνδρὶ Αὐρηλίῳ Πρόκλῳ | Νικομηδῖ, ζήσαντι ἔτη ξ', | μεθ' οὗ ἔζησα ἔτη ι', καὶ τοῖς ἀπελευ|θέροις καὶ τοῖς ἐξ αὐτῶν ἐσομένοις. | Ἰς ὄψιν πόδες ι', ἰς πλευρὸν πόδες ια' [1].

1. I. e. in fronte pedes x, in latere (= in agro) pedes xi.

---

290. Romae, in via Appia ad S. Xystum. — *Insc. gr. Sic. et Ital.*, 1781; *C. I. L.*, I, 857; VI, 8247.

Σέξστος Κλώδιος | Δεκόμου λιβερτινος · | αντι διον τερτιον νωναις [1].

1. Id est : ante diem tertium nonas.

---

291. Romae. — *Insc. gr. Sic. et Ital.*, 1782.

Κορελλία Αἴγλη | ἐτῶν κα' · ταῦτά σοι | πεποίηκεν Διονυττᾶς ὁ σὸς ἀνὴρ ‖ τῇ ἀγαθωτάτῃ. Εὐψύχι | κυρία · δο(ίη) σοι Ὄσιρις | τὸ ψυχρὸν ὕδορ |.

---

292. Romae. — *Insc. gr. Sic. et Ital.*, 1786.

Κορνούτου | ἰατροῦ | καὶ Ῥουφίνης | θυγατρός.

---

293. Romae. — *Insc. gr. Sic. et Ital.*, 1787.

Θ(εοῖς) κ(αταχθονίοις). |
Ἐνθάδε κεῖμε ἄναυδον, | ἄπνουν, ξένον ἐνθάδε κε[ῖμαι] |
παιδίον, ἐκπρολιπὼν γλυκε[ρὸν] ‖ φάος ἀελίοιο,
ζήσας μὲν λ[υκάβαν]|τας ἐγὼ δ[ύ]ο καὶ δύο μῆ[νας, |
.........ἑβ]δομάδας δισσὰς μο[ῦ]|νον τέ]λος ἔσχον ·
ἐκπρολιπὼ[ν | π[άτραν Σινώπην τῷδε πρόκε[ι ‖ μ]αι
τύμβῳ · ἐπὶ στήλης κεχαραγμέ|νον οὔνομα τοὐμὸν
Κορνουτίων · | κατάκειμε λιπὼν πένθος γονέο|ισι ·

τἀμὰ δὲ νηπιάχου δάκρυα πλῆ[σ'] Ἀχεροντίδα λίμνην.
Διόδωρ[ος Ορε]‖πτῷ ἰδίῳ.

---

294. Romae. — *Insc. gr. Sic. et Ital.*, 1788.

Κοσμᾶ ἰατροῦ.

---

295. Romae, ad portam S. Sebastiani. — *Insc. gr. Sic. et Ital.*, 1789.

Μ. Κοσσούτιος Φιλωτᾶς | ἱερατικὸς [1], ἀρχοντικός [2]. | Κοσσουτία |

1. Sacerdotalis. — 2. Duumviralis.

---

296. Romae. — *C. I. Gr. Sic. et Ital.*, 1790.

Γάι Κουριατι | Αθικτι | φηκες Σύρο|ς.

Titulus latinus, litterae graecae. Feces i. e. fecit.

---

297. Romae, ad viam Praenestinam. — *Insc. gr. Sic. et Ital.*, 1801.

Θεοῖς ὑποχθονίοις. | Ἐνθάδ' ἐγὼ κεῖμαι Λαυρέντιος, ᾧ τοὔνο|μα Αἰλιανὸς, πρότερον βενεφ(ικιάριος) ἐπάρχου Αἰγύ|πτου [1] · νῦν δ' ἀδίκως θανέων κεῖμαι ἐν τύμβῳ ‖ τῷδε, ὅπου λείψανά μου σπουδαῖοι κατέθεντο | φίλοι, Σωφρόνιός τε ἅμα Τηβεννίῳ Βελενίῳ | τε, συνῆν δὲ καὶ Φλωρέντιος ἅμα Βερηκούνδῃ |, ἥτις τόνδε τὸν τόπον ἔδωκεν, καλῶν φίλων | ἄρεον (?) [2] καὶ εὐσεβὲς ἔργον ἀξίῳ μοι περιποιησά‖μενοι.

1. Beneficiarius praefecti Aegypti. — 2. Esse debuit ἄξιον, ita ut Laurentius haec dicat : Optimis amicis dignum et pium opus (sepulchrum mihi digno fecerunt. « Mommsenus bonorum amicorum *aream* dici suspicatur, sed diffido. » Kaibel.

---

298. Romae, in vinea Amendola, ex monumento familiae C. Annii Pollionis. — *Insc. gr. Sic. et Ital.*, 1813 ; *C. I. L.*, VI, 7408.

L. Lucilius Lupi l. Hiero | medicus.

[Εἰμὶ Λ]ύπου Ἱέρων πολύχους ἐμ πᾶσιν ἰητρός, |
[ἐλλογ]ίμου [1] πάσης εὑρέσεως κάτοχος.

1. Ita Kaibel; [Εὐδοκ]ίμου, Mommsen.

---

299. Romae. — *Insc. gr. Sic. et Ital.*, 1815.

Ἀσίδος ἀρχιερῆος ἀγ|ακλυτοῦ υἱέα Μίθρου |
Λούκιον ἀθλοθετῆρα πά|τρης Σμύρνης ἐρατεινῆς [1], ‖
εὐγενί[δ]αν (?), σοφίαισι κεκασμένον, ἔξοχον ἀνδρῶν, |
Αὐσόνιον δάπεδον βωμ|ός θ' ὅδε σῆμά τε κρύπτει |.
Ὁ κεινήσας τὸν βωμὸν ‖ ἢ ἄλλο [τι] [2] τῶν ἐκ τοῦ τάφου | ἀποδώσει δήμῳ Ῥωμαίων | δηνάρια πεντακ(ι)σχίλια. |

1. Lucius erat filius Mithrae cujusdam, qui fuit sacerdos Asiae; ipse ludos edidit Smyrnae, in patria sua; dein Romam venit, ubi diem obiit et sepultus est. — 2. ΑΛΛΟΝ lapis.

---

300. Romae. — *Insc. gr. Sic. et Ital.*, 1819.

Θ(εοῖς) κ(αταχθονίοις). |
Ὧδε Λύκα κεῖμαι · ἀπὸ | Κρήτης ἦ[λθα] δὶ ἄνδρα, |
καὶ ἡ βασιλὶς Ῥώμη ὧ|δέ με ἐξέθετο.
....|..νω κεῖμα(ι) · ἄνδρα γὰρ ἐγδ|κομ..? [1]

1. Finis v. 6 et v. 7 non intelliguntur.

---

301. Romae. — *Notizie degli scavi*, 1899, p. 136.

Μαίνιος Ἐπίγονος | ἐπιστάτης [1] | Λικινίου Κορνούτου | συνκλητικοῦ [2].

1. Procurator seu vilicus. — 2. Idem forsitan atque C. Licinius Cornutus Gabinianus, de quo cf. *Prosop. imp. rom.*, II, p. 275, n. 125.

---

302. Romae. — *Insc. gr. Sic. et Ital.*, 1824; *C. I. L.*, VI, 21812.

Memoriae | M. Maeliliani | Zosimi qui | vixit annis XXVIIII, ‖ mensibus X, diebus | viginti septem; | Seius Alexander | fratri rarissimo. Προκόπι [1], ταῦτα.

1. Προκόπιος, nomen sodaliciarium.

303. Romae. — *Insc. gr. Sic. et Ital.*, 1825.

Μακάριε Φάννα [1] | Βοσπορεανὲ | χαῖρε.

1. Macarios, filius Phannae, quod nomen Φάννας in titulo prope Panticapaeum reperto legitur (B. Latyschew, *Insc. orae sept. Ponti Euxini*, II, 150).

---

304. Romae. — *Insc. gr. Sic. et Ital.*, 1834; *C. I. L.*, VI, 22176.

Μαρειτα Ασια | Κυιντω | Μαρειτω Λονγω | κοιυγι ‖ βενεμερεντι | φηκιτ.

Titulus latinus litteris graecis scriptus : Marita Asia Quinto Marito Longo conjugi bene merenti fecit.

---

305. Romae. — *Insc. gr. Sic. et Ital.*, 1839.

Μνήμην τῆς ἰδίας γαμετῆς μετὰ μοῖραν ἄτρεπτον |
ἐν στέρνοισιν ἔχων ἴδιος πόσις ὢν ἔτι ζωός, |
ἥτις ἔφυ. στήλαις, παροδοιπόρε, τοῦθ' ὑπέγρα ψ α· |
πρῶτον μὲν τύπος ἦν αὐτῇ χρυσῆς Ἀφροδίτης. ‖
εἶχε δὲ καὶ ψυχὴν ἀφελῆ στέρνοισι μένουσαν· |
ἦν ἀγαθή. νομίμοις δὲ θ ε οῦ παρεγείνετο πᾶσιν. |
Οὐδὲν ὅλως παρέβαινε· χαρίζετο, λειπομένοισιν. |
δουλὶς ὑπάρχουσα στέφανον τὸν ἐλεύθερον ἔσχεν. |
Ζωοὺς τρεῖς ἐκύησε γόνους· μήτηρ ἐγενήθη ‖
δισσῶν ἀρρενικῶν, τὸ δὲ θῆλυ τρίτον κατιδοῦσα |
ἠοῦς ἐνδεκάτης ἔλιπε ψυχὴν ἀμερίμνως. |
Κάλλος δ' αὖ μετὰ μοῖραν Ἀμαζόνος ἔσχεν ἄπιστον, |
ὥστε νεκρᾶς πλέον ἢ ζώσης εἰς ἔρωτα φέρεσθαι. |
Εἰκοστὸν δὲ βιώσασαν ἀφελῶς ἐνιαυτὸν ‖
Μαρκίαν [τ]ὴν Ἑλίκην ζοφερὸς τάφος ἔνθα καλύπτει.

« Christianae originis olim ego (*Epigr. gr.*, 727), rectius Judaïcae doctrinae (v. 6-8) vestigia deprehendit Gomperz, *Zeitschrift für österreich. Gymnas.*, 1878, p. 438. » Kaibel.

306. Romae. — *Insc. gr. Sic. et Ital.*, 1848.

Μένανδρος | Ἱεραπολείτης [1] | πρὸς Μέανδρον | ποταμόν.

1. Hierapoli oriundus, quae urbs Phrygiae ad Maeandrum sita erat.

---

307. Romae, in via Nomentana. — *Insc. gr. Sic. et Ital.*, 1857.

Εὐφρανθεὶς συνεχῶς, γελάσας παίξας τε, τρυφήσας |
καὶ ψυχὴν ἱλαρῶς πάντων τέρψας ἐν ἀοιδαῖς, |
οὐδένα λυπήσας, οὐ λοίδορα ῥήματα πέμψας, |
ἀλλὰ φίλος Μουσῶν, Βρομίου [1] Παφίης [2] τε βιώσας, ‖
ἐξ Ἀσίης ἐλθὼν Ἰταλῇ χθονὶ ἐνθάδε κεῖμαι |
ἐν φθιμένοις νέος ὤν, τοὔνομα Μηνόφιλος.

1. I. e. Bacchi. — 2. I. e. Veneris.

---

308. Romae. — *Insc. gr. Sic. et Ital.*, 1859.

Θ(εοῖς) κ(αταχθονίοις). | Μινουκία | Σικελή, χρησ|τὴ καὶ ἄμεμπτος, ‖ κεῖται ἐνθάδε | ζήσασα ἔτη | κε΄. Εὐοδίων | συμβίῳ ἐποί|ησεν.

« Et Minucia cum nomine tum natione Sicula fuit, et Euodio vir Siculus : inde formula Sicula χρηστὴ καὶ ἄμεμπτος explicanda. » Kaibel.

---

309. Romae. — *Insc. gr. Sic. et Ital.*, 1864. Lapis periit.

Ταρσέα Μουσαῖον φ[θ]ίμενον | κατεδέξατο γαῖα |
Ἰταλί[η]ς · [1] αἰαῖ, ποῖ πόθεν | ἦκε θανεῖν.

1. ΙΤΑΛΙΣ traditur.

---

310. Romae, ad portam Flaminiam. — *Insc. gr. Sic. et Ital.*, 1865.

Θ(εοῖς) κ(αταχθονίοις) . | Μυρόπνουι νάνῳ | χοραύλῃ.

In lapide anaglypho expressus est nanus, capite crasso, cruribus incurvis, utraque manu tibias tenens.

311. Romae. — *Insc. gr. Sic. et Ital.*, 1874 a.

Θ(εοῖς) κ(αταχθονίοις). | Νείκη ἡ καὶ | Μαρκελλεῖνα | Ἀπάμισσα [1] ‖ ἐτῶν λε΄. Εὐγένης. | Ἐν τοῖς κυρίου | Κέλσου χωρί|οις ἐνθάδε | [κεῖνται vel κείμεθα].

1. Apamaea oriunda.

---

312. Romae, ad viam Latinam. — *Insc. gr. Sic. et Ital.*, 1878.

Θ(εοῖς) κ(αταχθονίοις). | Νεικίας Ὀνησιφόρου | τοῦ Νεικίου, Ξάνθιος | τῆς Λυκίας, ἀρχιερασάμε‖νος τῶν Σεβαστῶν [1] καὶ | πρ[ε]σβεύσας [2] ἐκ τρίτου ὑ|πὲρ τῆς πατρίδος · [3] Μ. | Αὐρήλιος Ἀγησίλαος | τῷ συνπολείτῃ μνή‖μης χάριν ἐποίησεν.

1. Sacerdos Augustorum provinciae Lyciae. — 2. ΠΡΟΣΒΕΥΣΑΣ, lapis. — 3. Legatus patriae suae ad Augustos, loco tertio.

---

313. Romae. — *Insc. gr. Sic. et Ital.*, 1879.

Θ(εοῖς) κ(αταχθονίοις). |
Στήλην ἔθηκαν | Νικομήδει συνγε|νεῖς,
ὃς ἦν ἄριστος ‖ ἰητρὸς, ἐν ζωοῖς | ὅτ' ἦν,
πολλούς τε | σώσας φαρμά|κοις ἀνωδύνοις |
ἀνώδυνον τὸ σῶ‖μα νῦν ἔχει θανών · |
εὐψυχῶ Νικομήδης, | ὅστις οὐκ ἤμην καὶ ἐγενό|μην, οὐκ εἰμὶ καὶ οὐ λυ|ποῦμαι [1], ζήσας ἔτη μδ΄ ‖ καὶ ἡμέρας κγ΄.

1. Latine : non fui, fui, non sum, non curo ; de qua formula aliisque similibus cf. R. Cagnat, *Cours d'épigraphie latine*, (ed. III), p. 262.

---

314. Romae. — *Insc. gr. Sic. et Ital.*, 1883.

Τίς ἦν σ' ὁ θρέψας; — Ἦν Κίλιξ Ἀθήναιος. |
— Χρηστὸν τὸ θρέμμα · τίς καλῇ; — Νουμήνιος. |
— Πόσων δ' ἔθνησκες τῶν ἐτῶν; — Δίς εἴκοσιν. |
— Ἐχρῆν σ' ἔτι ζῆν. — Ἀλλὰ καὶ θανεῖν ἐχρῆν. ‖
— Γενναῖά σου καὶ χαῖρε — Καὶ σύγ', ὦ ξένε · |
σοὶ γὰρ μέτεστιν ἔτι χαρᾶς, ἡμῖν δ' ἅλις.

315. Romae, in sepulcreto Esquilino. — *Insc. gr. Sic. et Ital.*, 1884.

Νύμφων Ἰρίνα | Μασσαλιῶτα | χαῖρε.

---

316. Romae. — *Insc. gr. Sic. et Ital.*, 1887.

Ξένων Ἀρχ[ύτα]? | Τυνδαρῖτ[α] | φιλόσοφε χαῖρ[ε].

---

317. Romae. — *Insc. gr. Sic. et Ital.*, 1890.

Θεοῖς καταχθονίοις. |
Ἐνθάδ' ἐγὼ κεῖμαι Ὀλυμπία ἐτῶν | κδ',
Ἕλλην μὲν τὸ γένος, πατρὶς δέ μοι ἦτον | Ἀπάμεα ·
οὐδένα λοιπήσασα
- - · · · οὐ μεικροῦ ψυχὴν, οὐ μεγάλου ‖ κραδίην. |
Στήλην δ', ἣν ἐπύησα κατὰ χθόνα δάκρυσι θερμοῖς, |
παρθένον ἣν ἔλαβον, Σωτᾶς Ὀλυμπιάδι πεποίκα.
Στοργὴ | γὰρ μεγάλη τῶν ἀμφοτέρων διέμεινεν,
ὡς ὅπου φῶς | τὸ γλυκὺν παρέμεινε ἀκτεῖσι ἐπιλάμπ[ο]ν [1],
ἡδὺν ἀπὸ | στόματος καὶ γλυκὺν ὡς μελίτιν.
Ταύτην τὴν στή‖λην ἐπύησα Σωτᾶς σε φιλήσας.
Ψυχῇ διψώσῃ | ψυχρὸν ὕδωρ μεταδ[ό]ς [2] · |
ἀδελφὸς ταύτης ἐπέγραψεν.

1. ΕΠΙΛΑΜΠΩΝ, lapis. — 2. ΜΕΤΑΔΕΣ.

---

318. Romae, extra portam Latinam. — *Insc. gr. Sic. et Ital.*, 1898.

Ὀνήσιμε Ἠλιεῦ | χαῖρε.

---

319. Romae, inter portam S. Laurentii et portam Majorem. — *Insc. gr. Sic. et Ital.*, 1900.

Θ(εοῖς) κ(αταχθονίοις). | Ὀρτησεῖνος [1] ἐνθάδε κεῖ|ται, γενόμενος μὲν ἀνὴρ ἄρι|στος, ἰατρὸς δὲ τὴν τέχνην, ἐν ‖ λόγοις φιλοσόφοις καὶ ἤθει θαυ|μαστὸς, βιώσας ἔτη νβ', μῆνας | ς', ἡμέρας ιγ'. Σὺν ἐμοὶ δὲ τῇ συν|βίῳ ἐβίωσεν ἔτη

ιθ', παρὰ ἡμέ|ρας ζ'. Ἐποίησα Φλαβία Φῆστα | τῷ ἐμαυτῆς ἀγαθῷ ἀνδρὶ | μετὰ τῶν θυγατέρων μνή|μης χάριν.

1. Kaibel legit Ὀρτησει[α]νός = Hortensianus, dubitans.

---

320. Romae, extra portam Flaminiam. — *Insc. gr. Sic. et Ital.*, 1901.

Θ(εοῖς) κ(αταχθονίοις). | Γ. Ὀστίλιος | Ἀγαθόπους Νει|καεὺς ἐνταῦθα | κεῖμαι Κλ. Εὐτυχί|ας τυμβευθεὶς | χερὶ, ζήσας ἔτη λϐ', | προνοούσης τοῦ | μνήματος Ἰουλί|ας Ἰταλικῆς. Ὃς δὲ | ἂν σκύλῃ, μήτε [1] αὐ|τῷ θάλασσα πλω|τὴ μηδὲ γῆ βατή. |

1. ΜΕΤΕ traditur.

---

321. Romae. — *Insc. gr. Sic. et Ital.*, 1904.

Ὃς ἄν εἰς τοῦτο τὸ ἡρῷον ἔξω τοῦ γένους θῇ, | δώσει τῷ φίσκῳ δηνάρια μ(υριάδας) β' [1]. ...... [2]? Μάκρα | Γ. Οὐαλέριος Διδᾶς πατὴρ ἐπέγραψε.

1. I. e., denariorum viginti millia. — 2. CIЄNTH, traditur.

---

322. Romae. — *Insc. gr. Sic. et Ital.*, 1906.

Οὐαλερία Ὀλυμ|πιὰς | Οὐαλερίου Μενάνδρ|ου θυγάτηρ Ἀσιανὴ | πόλεως Λαοδικεί|ας [1], ζήσασα ἔτη | ιβ'.

1. Laodicea ad Lycum.

---

323. Romae, ad aedem S. Eusebii. — *Insc. gr. Sic. et Ital.*, 1907.

Οὐαρία Μάρκου ἐξελε[υ]|θέρα Δαίου [1], χαῖρε.

1. « Varia, M. Varii liberta, Daii uxor. » Kaibel.

---

324. Romae. — *Insc. gr. Sic. et Ital.*, 1913.

Τοῦτο τὸ μνημεῖον | πεπόηκεν Μ. Οὔλπιος | Ἥρων Ἀλεξανδρεὺς | ἑαυτῷ

καὶ Φλαουίαι ‖ Δόξῃ συμβίωι καὶ | Φλαουίωι Τελεσείνῳ υἱῷ | αὐτῆς [καὶ ἀπελ]ευθέροις | καὶ ἀπελ[ευθέραι]ς καὶ τῶν μετα|ξὺ [το]ύτων [1]. |

1. I. e., τῶν μετὰ τούτους sive posterorum.

---

325. Romae, extra portam S. Johannis. — *Insc. gr. Sic. et Ital.*, 1915; *C. I. L.*, VI, 29152.

Τὸν Χαρίτων με γέμοντ' ἐσορᾷς | κλεινὸν Χαρίτωνα
μοῖραν ἀνα|πλήσαντ' Αὐσονίῃ ἐνὶ γῇ.
Τίκτε | δὲ Σαρδονίη με [πε]ρίρρυτος, ἐν δ' ἄ‖ρα Τάρσῳ
πίστιν ἔχον ταβούλης | χρήματος Αὐσονίου [1].
Ἀλλ' ἄρ' ἐσαθρή|σας φωτὸς δέκα τρὶς λυκάβαντας |
πρὸς πέντε, φθίμενος τήνδ' ἐπίκειμαι κόνι|ν. ‖

D. M. | M. Vlpio Augg. lib. Charitoni | Vlpia Charitine fratri dulc[i]s|simo, qui uixit annis XXXV, dieb. | XVIIII et P. Aelius Augg. lib. Africanus ‖ cognato bene merenti fecęrunt | et sibi et suis lib. lib. posterisq. | eorum. H. m. d. m. a. [2].

1. M. Ulpius Charito, Trajani imperatoris libertus, natus est in Sardinia, tabularius fuit Tarsi in provincia Cilicia, et Romae diem obiit. — 2. *H*(*uic*) *m*(*onumento*) *d*(*olus*) *m*(*alus*) *a*(*besto*).

---

326. Romae. — *Insc. gr. Sic. et Ital.*, 1926.

Θ(εοῖς) κ(αταχθονίοις). | Παπίας Διοδώρου | Σαρδιανὸς [1] ζῶν ἑαυτῷ ἐποίησεν ‖ καὶ Μ. Τιτίῳ Ἰανουαρίῳ | υἱῷ, ὃς ἔζησεν ἔτη ιη', καὶ ἀπελευθέραις καὶ ἀπε|λευθέροις ἑαυτῶν.

1. Sardibus, in Lydia, oriundus.

---

327. Romae. — *Insc. gr. Sic. et Ital.*, 1928.

Παπειρίῳ Ἡρακλεί|τῳ Λαρανδεῖ [1] σοφι|στῇ Ἀπολλώνι|ος καὶ Νέων ‖ τῷ χρηστῷ πάτρωνι.

1. Larandae natus, in Lycaonia.

328. Romae, ad viam Latinam, intra splendidum monumentum, in zophoro aediculae fastigiatae. — *Insc. gr. Sic. et Ital.*, 1934 d.

Πάτρωνος ἰ[α]τροῦ.

E titulis non paucis qui ejusdem monumenti parietibus sculpti aut picti fuerant, hunc referre satis habemus. De aliis et de ipso sepulcro cf. Secchi, *Monumenti inediti d'un antico sepolcro di famiglia greca scoperto in Roma* et quae disseruit Kaibel, *op. cit.*, 1934.

---

329. Romae. — *Insc. gr. Sic. et Ital.*, 1937.

Θ(εοῖς) κ(αταχθονίοις) |.
Τὴν σεμνῶς | ζήσασαν ἀμώ|μητόν τε σύνευ|νον
Παυλεῖναν | φθιμένην ἐννεακ[α]ί|δεκ᾽ ἐτῶν
Ἀνδρόνικος | ἰητρὸς ἀνὴρ μνημῆ|α τίνων
τήνδε πανυ|στατίην [στήσα]το μαρ|τυ[ρίην].....

---

330. Romae. — *Insc. gr. Sic. et Ital.*, 1342.

Π. Α(ἴλιος) Φαίδιμος Παύ|λῃ συνβίῳ τὴν | κοῦπαν [1] σὺν τῷ τί|τλῳ καὶ τοῖς περὶ αὐ|τὴν ἀναλώμασιν [2], | μνεία[ς] χάριν, ζησά|[σῃ]......

1. Cupa vel cupula, quoddam sepulcri genus, de quo disseruit Joh. Schmidt: *Philologus*, XLVII (1888) p. 163 et seqq. — 2. Cum titulo et impensis.

---

331. Romae. — *Insc. gr. Sic. et Ital.*, 1944.

Πινίτας | Νικομάχου | Σαλάνιος [1].

1. « Fortasse Σαλα[μί]νιος. » Kaibel. Salamine oriundus.

---

332. Romae, ad viam Appiam. — *Insc. gr. Sic. et Ital.*, 1946.

Γ. Πλεινίωι | Εὐτύχωι | κωμῳδῶι | Γ. Πλείνιος | Ζώσιμος [1] συντρόφῳ καὶ | ἀπελευθέρωι | τειμιωτάτωι.

1. Hunc C. Plinium Zosimum non diversum esse a Zosimo, C. Plinii Caecilii Secundi liberto (*Epist.*, V, 19), opinatur Borghesi, Mommsen negat; cf. *Prosop. imp. rom.*, III, p. 52, n. 375.

333. Romae. — *Insc. gr. Sic. et Ital.*, 1951.

Θ(εοῖς) κ(αταχθονίοις). |
Ἐνθάδε κεῖται | ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων ‖
Πομπήιος Διοκλῆς, | τέρματ' ἔχων | σοφίης.

« Diocles, ni fallor, medicus fuit, quod docte Homerico versu (*Iliad.*, XI, 514) significavit. » Kaibel.

---

334. Romae. — *Insc. gr. Sic. et Ital.*, 1952.

Δ(ις) Μ(ανιβυς) | Γν. Πομπει Ισμηνι | Ἰουλία Τύχη | ουιρω βενε μερεντι. |

Titulum latinum graecis litteris scriptum, sic lege : D(is) M(anibus) Cn. Pompei Ismeni; Julia Tyche viro bene merenti.

---

335. Romae, ad viam Appiam. — *Insc. gr. Sic. et Ital.*, 1956.

Θ(εοῖς) κ(αταχθονίοις). |
Ποντιανοῦ παῖς | κεῖτ' ἐνθάδε | Βαρβαριανὸς, ‖
τόν ποτ' Ἄμαστρις [1] | ἔθρεψε νέον δ' | ἥρπαξεν ὁ δαίμων |.

1. Amastris seu Sesamus, oppidum Bithyniae.

---

336. Romae. — *Insc. gr. Sic. et Ital.*, 1960.

Ἐνθάδε κεῖμαι δάμαρ ὑπάτου ἥρωος ἀγαυοῦ |
Ἀρρίου [1] μου φιλίου, τῷδε μιγεῖσα μόνῳ · |
ἦν δὲ κὲ<ν> ἐκ προγόνων ποτὲ τοὔνομα Πουβλιανή [2] μοι |
(Σκιπιάδαι δ' ἔπελον εὐγενίῃ τ' ἔπρεπον), ‖
χηρείαις αὐτὴ τὸν ἅπαντα χρόνον μείνασα |,
κὠκυμόρων τεκέων πένθει τακομένη · |
ἐμ βιότῳ δὲ πόνον πουλὺν δ' ἀνέτλην μογέουσ[α], |
Μούσαισιν μοῦνον τὴν φρένα θελγομένη. |

1. Arrios complures novimus consules. — 2. Aut Oscia Modesta Cornelia Publiana, avia M Flavii Arrii Oscii Honorati, ut vult Dessau (*Prosop. imp. rom.*, II, p. 439, n. 104), aut Seia Modesta V[ale]ria... Cornelia Patruina Publiana, quam tituli africani nuper inventi uxorem fuisse nos docuerunt C. Arrii Calpurnii Longini consulis. Cf. Ed. Groag, *Wiener Studien*, 1900, p. 141 et seqq.

337. Romae, ad S. Balbinam. — *Insc. gr. Sic. et Ital.*, 1962.

Ὧδ' ἔθανεν Πούπλιος | Μακεδών, ὃν ἐδέξατο | Ῥώμη ·
δεξαμένη Ῥώμη | ὧδ' ἔλιπεν τὸ φάος
ζήσας || ἔτη λε'. | Μαρκία σύνβιος | μνήμης ἕνεκεν ἐπέ|γραψα.

---

338. Romae. — *Insc. gr. Sic. et Ital.*, 1966.

Πρείμα τῇ ἰδίᾳ γυναι|κὶ Λεοντᾶς Τιβερίου | Ἰουλίου Κέλσου Πολε|μαιανοῦ [1] δοῦλος || κοσμίως καὶ ἀμέν|πτως συνζησάσῃ | αὐτῷ ἔτη δέκα τὸ | μνημεῖον τοῦτο ἐκ τῶν | ἰδίων ἐποίησε · || τοῦτο τὸ μνημεῖον ἔχει | εἴσοδον καὶ ἔξοδον.

1. — Ti. Julius Celsus Polemaeanus consul fuit suffectus anno p. C. n. 92 : de quo cf. *Prosop. imp. rom.*, II, p. 186, n. 176.

---

339. Romae, in via Appia, prope sepulchretum libertorum Liviae Augustae. — *Insc. gr. Sic. et Ital.*, 1970.

Ἐννεακαι|δεκάμηνος | ἐγὼ κεῖμαι | παρὰ τύμβῳ, ||
ὃν ποιεῖ πα|τὴρ Πρόκλος | Συρίης ἀπὸ | γαίης ·
οὔνο|μα δέ ἐστι Πρό||κλα, γαία πατρὶς | ἧ παράκειμαι.

---

340. Romae, extra portam S. Pancratii Transtiberinam. — *Insc. gr. Sic. et Ital.*, 1976.

Ῥου[φειν.....?] |
Ῥουφείνου τάφος οὗτος, ὃν Ἀστέριόν ποτ' ἔκληζον, |
ὃς προλιπὼν Ῥώμης δάπεδον, Νείλου πόλιν ἐλθὼν |
καὶ προκοπαῖς λάμψας, πολλοῖσι δὲ πολλὰ παρασχών, ||
μηδένα λυπήσας, ἀλλ' εἰς τὸ δίκαιον ἀθρήσας, |
Μοιρῶν οὐκ ἔφυγεν τρισσῶν μίτον, ἀλλὰ νεκρωθεὶς |
τὴν ψυχὴν ἀπέδωκεν ἐς ἀέρα, σῶμα δὲ πρὸς γῆν. |
Ἀλλὰ καὶ εὐσεβίης ἔσχεν κρίσιν ἐν φθιμένοισιν, |
καὶ πάλιν εἶδε τὸ φῶς νεκρὸς ὢν καὶ πόντον ἔπλευσε ||
καὶ χώρης ἰδίης ἐπέβη · σὺν παισὶ δὲ κεῖται, |
ὧν οὐκ εἶδε τέλος θανάτου · πρῶτος γὰρ ἔθνησκε. |
Ἡ δὲ τέκνων δισσῶν μήτηρ, σεμν(ὴ) ἠδὲ φίλανδρος, |

καὶ πέλαγος διέπλευσε καὶ ἤγαγε σῶμα βυθοῖσιν |
καὶ καμάτους ὑπέμεινε καὶ ἐν θρήνοις διέμεινε ‖
καὶ τύμβῳ κατέθηκε καὶ αἰῶσιν παρέδωκε |
Δαμοστρατείας ταῦτα τῆς φιλανδρίας.

« Rufini Romani Nilopoli defuncti corpus sepultum rursus erutum Damostrata uxor in patriam reduxit; epigramma paullo post filiis duobus mortuis insculpendum curavit eadem » Kaibel.

---

341. Romae, ad viam Latinam. — *Insc. gr. Sic. et Ital.*, 1980.

Θεοῖς μνή|μασι. Ῥώμη | καλῶς βιωσά|ση Ἀπολλινᾶ|ρις σύμβιος.

---

342. Romae, extra portam Flaminiam. — *Insc. gr. Sic. et Ital.*, 1989.

Θ(εοῖς) κ(αταχθονίοις). | Λ. Π. Σατορνεῖνος | ετ Αἰ. Ἡλιὰς ετ | Π. Λ. Διογένης ‖ κομπαραουηρουντ | σιβι ετ σουεις.

Titulus latinus graecis litteris scriptus. Sic lege : L. P..... Saturninus et Ae(lia) Helias et P. Ae(lius) Diogenes comparaverunt sibi et suis.

---

343. Romae, extra portam Capenam, in sarcophago. — *Inscr. gr. Sic. et Ital.*, 1990.

Σατορνεῖνος ἐγὼ κικλήσκομαι · ἐκ | δέ με παιδὸς |
εἰς Διονύσου ἄγαλμ' ἔθεσαν [1] μήτηρ | τε πατήρ τε.

1. « Parentes, cum in vivis esset, puerum Dionysi specie indutum in aliquo dei fano posuerant, ideoque personati Bacchi imaginem etiam sarcophago mortui insculpendam curaverunt. » Kaibel (*Epigr. gr.*, 705).

---

344. Romae, in Esquiliis. — *Insc. gr. Sic. et Ital.*, 1702.

Ἰουλία<ς> Κρισπεῖνα ἀνδρὶ γλυκυτάτῳ | καὶ σοφιστῇ, | ᾧ οὔνομα ἦν Σέκκιος Τρόφιμος, γένει Σιδήτης [1], | καλὸν βίον καὶ ἀμέμπτως βιώσας μετ' ἐμοῦ ‖ ἔτη δυοκαίδεκα · αὐτὸς δὲ ἀποδοὺς τὸ | δάνειον τῆς ζόης ὀγδοηκοστὸν ἕκκτο[ν] | ὧδε κεῖται οἴκῳ ἐωνίῳ παραλημφθε[ὶς] | ὑπὸ θεῶν καταχθονίων.

1. I. e. oriundus Side, quae est Pamphyliae urbs.

345. Romae. — *Insc. gr. Sic. et Ital.*, 1997.

Εὐψύχι Σεκοῦνδα · οὐ|δὶς ἀθάνατος · Ῥηγιτᾶνα [1].

1. Secunda Regio Lepido oriunda erat ut vidit Franz.

---

346. Romae, ad viam Flaminiam, in sarcophago. — *Insc. gr. Sic. et Ital.*, 2000.

Μ. Σεμπρώνιος Νεικοκράτης, | ἤμην ποτὲ μουσικὸς ἀνὴρ | ποιητὴς καὶ κιθαριστὴς | μάλιστα δὲ καὶ συνοδείτης · ‖ πολλὰ βυθοῖσι καμών, | ὁδηπορίες δ' ἀτονήσας, |
ἔνπορος εὐμόρφων γενόμην, | φίλοι, μετέπειτα γυναικῶν. |
Πνεῦμα λαβὼν δάνος οὐρανόθεν ‖ τελέσας χρόνον αὖτ' ἀπέδωκα, |
καὶ μετὰ τὸν θάνατον | Μοῦσαί μου τὸ σῶμα κρατοῦσιν.

« Fuit Sempronius sacrae synodi sodalis, ejus fortasse quam Τραιανὴν Ἀδριανήν appellatam Romae fuisse scimus; postea, cum non jam lucri quidquam faceret ex studiis musicis, ad magis lucrosa se convertit negotia. Denique, quas a puero adamaverat, Musae eo potiuntur eumque tumulo tegunt » Kaibel (*Epigr. gr.*, 613).

---

347. Romae, duobus a porta S. Pauli chilometris. — *Insc. gr. Sic. et Ital.*, 2003.

Θεοῖς καταχτονίοις (sic). | Γ. Σεπτίμιος Ἡράκλειτος ἐποίη|σεν ἑαυτῷ καὶ Αὐφιδίᾳ Καπετωλίνῃ | συμβίῳ καὶ ἀπελευθέροις καὶ τοῖς ‖ μετ' αὐτοὺς ἐσομένοις καὶ κληρο|νόμοις ἑαυτοῦ καὶ τοῖς ἐξ αὐτῶν | ἐσομένοις καὶ Σατορνίνῳ Ἀβα|σκάντου Κλαυδιανῷ Σμυρναίῳ | καὶ τοῖς ἐξ αὐτοῦ ἐσομένοις καὶ ‖ Λουκίῳ Κατιλίῳ Χρυσέρωτι μα|θητῇ [1] καὶ Μ. Γαβίῳ Δίῳ καὶ τοῖς | [ἐξ] αὐτῶν ἐσομένοις · τὰ δὲ | [λοι]πά, Ἡράκλειτε, εὔφραινε | [θυμ]ὸν ἀφθόνως · τὸ γάρ ποτε ‖ [δεῖ]ν σε θανεῖν μοίραις | [μ]εμέληται.

1. Quam artem Heraclitus exercuerit tacet. Aut sophistam aut medicum fuisse opinatur Kaibel.

---

348. Romae. — *Insc. gr. Sic. et Ital.*, 2008.

[Εὐ]ψύχι τέ|κνον Σερῆ|νε [ἄ]ω[ρ]ε [1] ? ἐτ|ῶν δ', μηνῶ‖ν η', ἡμερῶν ιθ' · | Φουσκῖνος προ|βοκάτωρ [2] Καίσα|ρος πατὴρ καὶ Ταὼν | μήτηρ Αἰγύπτιοι ἐποί‖ησαν [λ]οιπο[ύ]μενοι [3].

1. ΑΩΓΕ traditur. — 2. Provocatores erant genus quoddam gladiatorum. Fuscinus ad familiam gladiatoriam Augusti pertinebat. — 3. ΛΟΙΠΟΝΜΕΝΟΙ traditur.

349. Romae. — *Insc. gr. Sic. et Ital.*, 1558.

Δόμνα Σιδήτη | υἱῷ ζήσαντι ἔτ(η) | κ', υἱῷ πραγματευ|τοῦ [1] Περεγρείνου, ‖ μνίας χάρ(ιν) ἐποίησεν.

1. I. e., negotiatoris.

350-352. Romae, ad viam Salariam. — *Insc. gr. Sic. et Ital.*, 2012.

Deis Manibus sacrum. | Q. Sulpicio Q. f. Cla. Maximo domo Roma uix. ann. XI | m. V. d. XII. | Hic tertio certaminis lustro [1] inter graecos poetas duos et L | professus fauorem, quem ob teneram aetatem excitauerat, ‖ in admirationem ingenio suo perduxit et cum honore discessit [2]; uersus | extemporales eo subiecti sunt ne parent(es) adfectib(us) suis indulsisse uideant(ur). | Q. Sulpicius Eugramus et Licinia Ianuaria parent(es) infelicissim(i) f(ilio) piissim(o) fec(erunt) et sib(i) p(osterisque) suis ‖.

Κ. Σουλπικίου | Μαξίμου καίριον · ‖ τίσιν ἂν λόγοις | χρήσαιτο Ζεὺς | ἐπιτιμῶν Ἡλίῳ | ὅτι τὸ ἅρμα ἔδωκε | Φαέθοντι. ‖

Ἡμετέρου κόσμοι|ο φαεσφόρον ἁρμε|λατῆρα
οὐχ ἕτε ρον πλὴν σεῖο θεοὶ | ποίησαν ἄνακτες · ‖
τίπτε κακόφρονα θῆ|κες ἐφ' ἁψίδεσσιν Ὀ|λύμπου
υἱέα καὶ | πώλων ἄφατον τά|χος ἐγγυάλιξας, ‖
ἡμετέρην οὐδ' ὅσ(σ)ον ὑποδείσας ἐπα|ρωγήν;
οὐ τάδε πιστὰ | θεοῖς σέο δήνεα · ποῖ Φα|έθοντος
εὐσταθὲς ‖ ἅρμα φορεῖτο; τί σου | πυρὸς ἀκ[μ]α μάτοιο |
φλὸξ ἄχρι καὶ θρόνον | ἦλθεν ἐμὸν καὶ ἐπ' εὐ|ρέα κόσμον;
μίγνυτο ‖ καὶ κύκλοισιν ὑπερ|μενὲς ἄχθος ἀπ' εἴ|λης ·
Ὠκεανὸς χέρας | αὐτὸς (vel χέρα καὐτὸς) ἐς οὐρανὸν ἠέρ|ταζε ·
τίς ποταμῶν ‖ οὐ πᾶσαν ἀνεξηραί|νετο πηγήν;
καὶ σπό|ρος ἐς Δήμητρα κα|ταίθετο, καί τις ἄπλ[α]|τον ‖
ἀζαλέην ἔκλαυσε παρὰ | δρεπάναισι γεωργὸς, |
σπείρων εἰς ἀχάριστα | μάτην θ' ὑπὸ κυφὸν ἄρο|τρον
ταῦρον ὑποζεύ‖ξας ὑπό τ' ἀστέρα βουλυ|τοῖο
κάμψας ἄρρενα γυ|ῖα σὺν ἀχθεινοῖσι βόεσ|σι.
Γαῖα δ' ὑπέστενε πᾶσα | κακόφρονος εἵνεκα ‖ κούρου ·
καὶ τότ' ἐγὼ πυ|ρὶ φέγγος ἀπέσβεσα. | Μηκέτι παιδὸς |

μύρεο λυγρὸν ὄλεθρον, | ἐοῦ δ' ἔχε φροντίδα κόσ|μου.
μή ποτε χειρὸς ἐμῆς | φλογερώτερον ἔγχος ἀθροίσῃς.
Γίνωσκ' οὐρανίοιο | Διὸς νόον · οὐ μὰ γὰρ αὐτὴν
Ῥεί|ην ἄλλο τι τ οὐδὲ κακώτερον | ἶδεν Ὄλυμπος · |
κόσμος ἐμὸς σὴ πίστις ἔφυ μεγακύδεος ἔργου.
Οἰχέσθω τὰ | πάροιθε, τὰ δ' ὕστερα φροντί|δι κεῦθε ·
οὐ σὸς ἔφυ · πώ|λων γὰρ ἀπείριτον οὐ σθένος | ἔγνω.
ῥυτήρων οὐδ' ἔσχε | πολυφραδὲς ἔργον ἀνύσσαι. |
Ἔρχεο νῦν, πάλι κόσμον ἐποί|χεο, μὴ τεὸν εὖ[χ]ος
ἀλλο|τρίαις παλάμαισι πόρῃ|ς ἀμενηνὰ πονήσας · |
μούνῳ σοὶ πυρόεντος | ἐπειγομένῳ κύκλοιο |
ἀντολίη καὶ πᾶσα καλὸς | δρόμος ἔπλετο δυσμή · |
σοὶ τόδε πιστὸν ἔδωκε | φέρειν νόος ἄφθιτον εὖχος. |
Φείδεο γῆς καὶ παντὸς ἀρι|πρεπέος κόσμοιο,
ἴσχε δρό|μον μεσάταισιν ἐπ' ἀψίδεσ|σιν Ὀλύμπου ·
ταῦτα πρέ|ποντα θεοῖς, ταῦτ' ἄρκια · μαίεο. δαῖμον,
μειλίχιον πά|λι φέγγος · ὁ σὸς παῖς ὤλεσε | πουλύ ·
καὶ τὸν ἀπειρέσιον | μέγαν οὐρανὸν αὐτὸς ὅδευε, |
ἥμισυ μὲν γαίης νέρθεν, | τὸ δ' ὕπερθε τανύσσας · |
οὕτω γὰρ πρέψει ἐτεὸν φάος | Οὐρανίδαισι,
καὶ φωτῶν | ἀκάκωτος ἀεὶ λειφθήσε|ται εὐχή,
πρηυμενῆ | δ' ἕξεις Ζηνὸς νόον · ἢν δ' ἑτέ|ρη τις |
λείπηται σέο | φροντὶς ἀταρβέ[ο]ς, ἵστορες αὐτοὶ |
ἀστέρες, ὡς πυ[ρό|]εντος ἐμοῦ μ[ε]|νος αἶψα κεραυνο[ῦ] |
ὠκύτερον πώ|λων .....δέ|μας ....

351.

Ἐπιγράμματα. |

Μοῦνος ἀπ' αἰῶνος δυοκαίδεκα παῖς ἐνιαυτῶν |
  Μάξιμος ἐξ ἀέθλων εἰς Ἀίδην ἔμολον · |
νοῦσος καὶ κάματός με διώλεσαν · οὔτε γὰρ ἠοῦς. |
  οὐκ ὄρφνης Μουσέων ἐκτὸς ἔθηκα φρένα. |
Λίσσομαι ἀλλὰ στῆθι δεδουπότος εἵνεκα κούρου, |

ὄφρα μάθῃς σχεδίου γράμματος εὐεπίην, |
εὐφήμου καὶ λέξον ἀπὸ στόματος τόδε μοῦνον |
δακρύσας · « εἴης χῶρον ἐς Ἠλύσιον · ‖
ζωούσας ἔλιπες γὰρ ἀηδόνας, ἃς Ἀιδωνεὺς |
οὐδέποθ᾽ αἱρήσει τῇ φθονερῇ παλάμῃ. »

352.

Βαιὸν μὲν τόδε σῆμα, τὸ δὲ κλέος οὐρανὸν ἵκει, |
Μάξιμε, Πειερίδων ἐξέο[3] λειπομένων, |
νώνυμον οὐδέ σε Μοῖρα κατέκτανε νηλεόθυμος, |
ἀλλ᾽ ἔλιπεν λήθης ἄμμορον εὐεπίην. ‖
Οὔτις ἀδακρύτοισι τεὸν παρὰ τύμβον ἀμείβων |
ὀφθαλμοῖς σχεδίου δέρξεται εὐστιχίην. |
Ἄρκιον ἐς δόλιχον τόδε σοι κλέος · οὐ γὰρ ἀπευθὴς |
κείσεαι οὐτιδανοῖς (ε)ἰδόμενος νέκυσι, |
πουλὺ δὲ καὶ χρυσοῖο καὶ ἠλέκτροιο φαεινοῦ ‖
εἴ(σ)σετ᾽ ἀεὶ κρέσσων ἣν ἔλιπες σελίδα.

1. Quum certamen vel ludum Capitolinum imperator Domitianus anno p. C. n. 86 condiderit, tertium lustrum a. 94 actum est. — 2. Ex his verbis recte Henzen collegit Q. Sulpicium Maximum non victorem e certamine discessisse. — 3. I. e. ἐκ σέο.

De titulo cf. C. L. Visconti, *Il sepolcro del fanciullo Q. Sulpicio Massimo;* Henzen, in *Bullett. dell' Instit.*, 1871, p. 98 et seqq.; Kaibel, *Epigr. gr.*, 618.

---

353. Romae. — *Insc. gr. Sic. et Ital.*, 2023.

Ἐνθάδε κεῖται | Σύμφορος Σικε(λὸς) | Πανορμίτης.

---

354. Romae, ad viam Tiburtinam. — *Insc. gr. Sic. et Ital.*, 2030.

Θεοῖς καταχθονίοις. | Σωτηρίχῳ λυριστῇ ἐτῶν | λϐ´ ἡμίσου Λοῦκις | Πομπῶνις Σωτήριχος[1] ‖ πατὴρ ἐποίησε · εὐψύχι.

1. Lucius Pomponius Soterichus.

355. Romae, in via Appia. — *Insc. gr. Sic. et Ital.*, 2042.

Δ(ις) Μ(ανιβυς). | Τιτίαι Ἐλπίδι Μαρ|κους Τιτιους Ζηνο|βιους κοιουγι βενε||με-ρεντι φηκιτ.

Titulus latinus graecis litteris scriptus. Sic lege : D(is) M(anibus). Titiae Elpidi Marcus Titius Zenobius conjugi bene merenti fecit.

---

356. Romae. — *Insc. gr. Sic. et Ital.*, 2045.

Τρόφιμος βουκόλος.

---

357. Romae, juxta aedem Sanctae Virginis in Minerva. — *Insc. gr. Sic. et Ital.*, 2047.

Ἐνθάδ|ε κεῖται | Τρύφων | Λα(ο)δικ(ε)ὺς || τῆς πρὸς | Λύκον.

---

358. Romae, in Esquiliis, in Statiliorum sepulcreto. — *Insc. gr. Sic. et Ital.*, 2050.

Τύραννος κωμῳδὸς | ἔζησεν ἔτη ιη'. |
Τῆς εἰς ἓν φιλίης | Χρυσέρως καὶ παι||δὸς ἀρετῆς
τήνδ' ἐπὶ τῷ μνή|μης εἵνεκ' ἔθηκε Πάρον.

« Chryseros Tyranno filio amoris simul ac virtutis ergo posuit monumentum Pario lapide factum. » Kaibel.

---

359. Romae, trans Tiberim. — *Insc. gr. Sic. et Ital.*, 2057.

Θ(εοῖς) κ(αταχθονίοις). | Φαυστίνῳ τε|λευτήσαντι, πραγ|ματευτῇ [1], Θεόφι||λος σύνδουλος | ἐποίησεν μνή|μης χάριν.

1. Πραγματευτής, id est, ut Mommsen opinatur, servus actor.

---

360. Romae. — *Insc. gr. Sic. et Ital.*, 2064.

Σεμνὴν Πηνελόπην ὁ πάλαι βίος, ἔσχε δὲ καὶ νῦν
σεμνὴν Φηλικίταν [1] οὐ τάχα μειοτέρην · |
βουλομένης δὲ θανεῖν ἀνδρὸς προτέρην σφετέροιο
ἔκλυες, ὦ δαίμων, πολλάκις εὐχομένης |.

Τοιγάρτοι καὶ ἐμεῖο δικαιοτέρην ὄπ' ἄκουσον
εὐχομένου, Πλούτων, | ἣν εἰς Ἀΐδαο περήσω,
εὑρεῖν τὴν ἰδίαν Φηλικίταν παρὰ σοί. ‖
Κλαύδιος ἰητὴρ Ἀγαθεῖνος τήνδε ἀνέθηκεν
εἰκόνα Φηλικίτας, μάρτυρα σωφροσύνης.

1. I. e. Felicitas.

---

361. Romae. — *Insc. gr. Sic. et Ital.*, 2068.

Θ(εοῖς) κ(αταχθονίοις). |
Ἤμην ὡς ἤμην φωνὴν καὶ πνεῦμα καὶ εἶδος, |
ἀρτιτόκου φωτὸς | ψυχίον ἔνδοθ' ἔχ[ω]ν, ‖
αἴσιος ἐμ φιλότητι καὶ ὄλβιος ἐμ πραπίδεσσι, |
μηδὲν ἄγαν φρονέων, θνητὰ δὲ πάνθ' ὁρόω[ν]. |
Ἦλθον, ἀπῆλθον ἄμεμπτος, ἃ μὴ θέμις οὐκ ἐδό|κευσα, |
εἴτ' ἤμην πρότερον, εἴτε χρόνοις ἔσομαι · ‖
παιδεύθην, παίδευσα, κύτος κόσμοιο πέδη|σα, |
θείας ἐξ ἀθανάτων φωσὶ φράσας ἀρετάς · |
Κεύθι γαῖα φίλη με · τί δ' ἁγνὸν ὅμως ὄνο|μ'; ἤμην ‖
πᾶσι Φίλητος ἀνήρ, τῆς Λυκίης Λιμύ|ρων [1].

1. Philetus oriundus erat Limyra apud Lycios. — « Epitaphium est ludimagistri disciplinae, ut videtur, Pythagoricae. » Kaibel (*Epigr. gr.*, 615).

---

362. Romae. — *Insc. gr. Sic. et Ital.*, 2088.

Φλάουιος | Τέρπνος | κιθαρωιδὸς [1] | Ἀλεξανδρε‖ὺς ἐτῶν κς', | ἄφθορος.

1. Fuerunt qui hunc Flavium Terpnum non diversum esse putaverunt a Terpno citharista, quem Nero dilexit (de quo cf. *Prosop. imp. rom.*, III, p. 306, n. 84); at verisimillimum est eum ante Vespasiani tempora manumissum esse.

---

363. Romae. — *Insc. gr. Sic. et Ital.*, 2090.

Φαβία Αἰλία Φαβιανὴ Φαβίῳ Ὀνήτορι τῷ ἰδίῳ | χαίρειν. | Τόπον ὃν παρεκάλεσεν ἐν τοῖς κήποις μου |, ἵνα οἰκοδομήσῃς μνημάφιον ἐκεῖ, συνκε‖χωρηκέναι μέ σοι καὶ ἐπ[ιτ]ετροφέναι [1] οἰκο|δομῆσαί σε, ἵνα διὰ παντός σοι ἀνῆκεν, τού|τοις

τοῖς <τοῖς> γράμμασί μου, οἷς ὑπέγραψα | τῇ πρὸ ι' καλανδῶν Αὐγούστων Κλ. Ἰουλια|νῷ τὸ β' καὶ Βρυττίῳ Κρισπίνῳ ὑπάτοις [2], ‖ δῆλόν σοι ποιῶ · οὐ μηδεμίαν ἀμφισβήτη|σίν σέ ποτε ἕξειν ἐξ αὐτῶν τῶν γραμ|μάτων μου δῆλόν ἐστιν, σοὶ δὲ διαφέρειν | τὸν τόπον τοῦ μέτρου τοῦ... οἰκοδομῆσαι [3]. | Ἐρρῶσ[θαί] σε εὔχομε. Ἔρρωσο.

1. ΕΠΙΙΕΤΡΟΦΕΝΔΙ, lapis. — 2. Die XXIII mensis Julii anni p. C. n. 224. — 3. ΟΙΚΟΔΟΜΗCΑC lapis.

---

364. Romae. — *Insc. gr. Sic. et Ital.*, 2098.

Φλαουία Σερουάνδα [1] ἡ καὶ | Ἀγριππεῖνα, πανάρετε, | εὐψύχι μετὰ τοῦ Ὀσείριδος.

1. I. e. Flavia Servanda.

---

365. Romae. — *Insc. gr. Sic. et Ital.*, 2100.

Φλαβιανῶι ἥρωι πατὴρ | Δῶρος τόδε σῆμα, |
ἓξ ἐπὶ τοῖς δέκ' ἔτη | μοῦνα βιωσαμένωι · ‖
Μοῖρα γὰρ Αἰολίδος με | πάτρης ἀπάνευθε | Μυρίνης,
θάψε τε | καὶ Μουσῶν εὔνιν ἔθηκ' ἀρετῆς.

---

366. Romae. — *Insc. gr. Sic. et Ital.*, 2104.

Θ(εοῖς) κ(αταχθονίοις). |
Ἔν τε φίλοισι φίλοιο καὶ ἰη|τῆρος ἀρίστου |
παιδείης θ' ἱερῆς ἐγγύθεν ‖ ἁψαμένου |
σῶμ' Ἀσκληπι[άδα]ο καὶ υἱέος | ἐνθάδε Βήρου, |
ὡς ἐπέτελλε φίλοις, εἷς ὅ|δε τύμβος ἔχει. ‖

Λ. Φοντείῳ Φόρτι Ἀσκληπιά|δῃ, τῷ γένει Ἐφέσιον, | βιώσαντι ἔτεσιν μ', | μησὶν β', ἡμέρ(αις) κε', ὥρ(αις) ζ', | Ἐγνατία Βρισηὶς σύμβιος ‖ μνήμης χάριν.

---

367. Romae. — *Insc. gr. Sic. et Ital.*, 2111 ; — *C. I. L.*, VI, 18487.

Τὴν Διὸς ἀμφίπολόν με Χελειδόνα, τὴν ἐπὶ βωμοῖς |
σπένδειν ἀθανάτων γρηῢν ἐπισταμέναν, |

εὔτεκνον, ἀστονάχητον ἔχει τάφος · οὐ γὰρ ἀμαυρῶς |
δαίμονες ἡμετέρην ἔβλεπον εὐσεβίην. ||

Dis Manibus Chelidonis sa[crum]. | Floria Chelidon | Floriae P. f. Festae; | uixit annis LXXV. | In agr(um) p(edes) XIV, in fr(ontem) p(edes) XII. | H(oc) m(onumentum) h(eredes) n(on) s(equitur).

« Chelido videtur peregrini alicujus Jovis sacris in Urbe praefuisse. » Kaibel.

---

368. Romae. — *Insc. gr. Sic. et Ital.*, 2124.

Ἱστορίας δείξας | καὶ χερσὶν ἅπαντα | λαλήσας,
ἔμπειρος Βρομίοιο | σοφῆς ἱερῆς τε χορείας,
συνπάσχων || κείνοις [οἷσ]περ [1] κεινεῖτο προσώποις, |
κοσμήσας π[ᾶ]σαν θυμέλην διδαχαῖς | πολυδόξοις
οὗτος ὁ παιδίας | θαλερῆς ἐνκώμια λίψας |
κεῖτε δ[ὴ] [2] γήρᾳ βεβαρη[μέ]νος · [3] || οὐκ ἔθανεν γάρ,
ζώσης | εὐρυχόροιο τέχνης | ἀρεταῖσι μαθητῶν.

1. ΚΕΙΝΟΙΣΠΕΡ lapis. — 2. ΔΕ lapis. — 3. ΒΕΒΑΡΗΝΟΣ lapis.
« Est pantomimi epitaphium » Kaibel (*Epigr. gr.*, 608).

---

369. Romae, ad radices Quirinalis. — *Insc. gr. Sic. et Ital.*, 2143.

Ἐν ζωοῖς ἀρέσα[ντα......] | βιώσαντα ἐτῶ[ν.........] | κοιτῶνος ἔχων [........] | Σεβαστοῦ μεγάλου [[1]..........] || κασιγνήτοιο...

1. Erat defunctus a cubiculo vel cubicularius Augusti.

---

370. Romae. — *Insc. gr. Sic. et Ital.*, 1528.

.... | ἀπελεύθε|ρος καὶ Γρα|φικὸς [1] ἐπ|οίησαν.

1. Mommsen legit ἀπελεύθερος καὶ γραφικός, i. e. libertus et notarius; at Graphicus etiam pro nomine virili haberi potest.

LATIUM

371. Fidenis. — *Insc. gr. Sic. et Ital.*, 1346.

Αἰλία | Καικι[λ]ία | Φιλίππῃ τῇ | κρατίστῃ [1], γλυκυτάτῃ ‖ τεκούσῃ, | Σέριος Αὐγουρεῖνος | ὁ κράτιστος [1].

1. Κράτιστος, κρατίστη, egregius, egregia. — De Aelia Caecilia cf. *Prosop. imp. Rom.*, I, p. 23, n. 190.

---

372. Ficuleae. — *Insc. gr. Sic. et Ital.*, 1686.

[Θ(εοῖς)] κ(αταχθονίοις). | Ἰούλιος | Μενέμαχος | Σωτηρίχῳ ‖ βεστιαρίῳ [1] | μνήμης χάριν.

1. Vestiarius vel bestiarius.

---

373. Prope Ficuleam. — *Insc. gr. Sic. et Ital.*, 1794.

[Τ]ὴν στήλην, παροδεῖτα, διελθὼν γνώσῃ [τίς εἰμι?] |
καὶ πῶς μοι βεβίωται καὶ πῶς ἀνέλυσα μαθήσ[ῃ]. |
[Ἔ]σπειράν με γονεῖς παρ' Αἰγύπτοιο δ' ἀρούραις |
[ἐ]ν κώμηι Ἱεραπενθεβυλείῃ · νομὸς ἡ Ξόις [1]. ‖
.... Ἀλεξάνδρι[α.......] ε πατράσσιν |
....
[κ]αὶ ἐν στρατιᾶι [πα]νημερίῳ (?) μετέπιτα θελήσας, |
[κ]αὶ κόσμον κεκ[ράτ]ευκα, σχεδὸν εἴποιμι παρ' αὐτὸ, |
οὐ πόλεμόν π[οτ]ε ἰδὼν, οὐ χεῖρα φόνοισι μιάνας, |
[Κ]ρόνιος ὁ καὶ Ἀρτεμίδωρος Εὐόδιος ἐνθάδε κεῖμαι ‖
[ἑ]ξηκονταέτης, γυναῖκά τε μηδαμοῦ γήμας, |
μήτε δίκην εἴπας, μήτ' ὅρκον δούς ποτ' ὁμοίῳ · |
εὐτυχίην δὲ βίου ταύτην νόμισον, παροδεῖτα. |
Σεράμμων [2] ἐνθάδε κεῖμαι Ἀλεξανδρεύς, πολλὰ μογήσας |

ἐν βιότῳ περιὼν, λήθῃ, πλάνῃ, ἐλπίδι διώκων ||
. . . . τοῦτο γένωμαι ὃ βλέπις.

1. Xoïs urbs a Strabone abscribitur nomo Sebennytico (XVII, 1, 19), cujus nomi caput esse Ptolemaeus asserit (IV, 4, 50). — 2. Serammon omnino diversus est a Cronio qui et Artemidorus Euodius.

---

374. Tibure. — *Insc. gr. Sic. et Ital.*, 1123; *C. I. L.*, XIV, 3533.

In antica :

Ἀγαθῶι | δαίμονι.

In parte aversa :

Agathodaemoni | sacrum. | E u(oto) s(uscepto).

---

375. Tibure, in tabula marmorea utrinque inscripta. — *Insc. gr. Sic. et Ital.*, 1124.

Ab una parte :

Τῇ κυρίᾳ Ἀρτέμι|δι εὐχὴν ἐποίη|σεν Πακκία Λουκί|ου θυγάτηρ Σεκον||δεῖνα ὑπὲρ αὑτῆς | καὶ Ποστουμίλλης | θυγατρός. |

Ab altera :

Τῇ κυρίᾳ | Ἀρτέμιδι εὐχὴν || ἐποίησεν Πακκία | Σεκονδεῖνα ὑπὲρ | σωτηρίας Μάρκου | καὶ Φαδίλλης [1].

1. Marci Aurelii Antonini imperatoris et Fadillae ejus filiae.

---

376. Tibure. — *Insc. gr. Sic. et Ital.*, 1125.

Ἀσκληπιῷ θ[εῷ] σωτῆρι. | Λ. Μινίκιος Νατάλιος | ὕπατος [1] ἀνθύπατος Λιβύης, || αὔγουρ, πρεσβευτὴς καὶ | ἀντιστράτηγος Σεβαστοῦ | Μυσίας τῆς κάτω | τὸν ναὸν καὶ τὸν βωμὸν | ἀνέθηκεν.

1. Quo anno L. Minicius Natalis consul fuerit nescimus; sed, quum Africae proconsulatum egerit anno p. C. n. 139, consulatum gessisse videtur circa annum p. C. n. 127. De quo cf. *Prosop. imp. rom.*, II, p. 379, n. 440, et Pallu de Lessert, *Fastes des provinces africaines*, I, p. 190 et seq.

377. Praeneste. — *Insc. gr. Sic. et Ital.*, 1127; *C. I. L.*, XIV, 2901.

Domus C. Valeri Hermaisci templum | Sarapis schola Faustiniana fecit; C. | Valerius Hermaiscus | dedic. idib. Dec. || Barbaro et Regulo cos [1]. |

Γ. Βαλέριος Ἑρμαΐσκος ἐποί[ησεν | τὸ] Σαραπεῖον Διὶ Ἡλίῳ μεγάλῳ | Σαράπ[ιδι κα]ὶ τοῖς συννάοις θεοῖς.

1. Anno p. C. n. 157.

---

378. Praeneste. — *Insc. gr. Sic. et Ital.*, 1302.

In opere musivo quod Nili crescentis imaginem referre et Hadriani imperatoris in Aegyptum adventum memorare putant, supra vel infra vel juxta varias animalium figuras, leguntur haec.

Σφινγία	Ἔνυδρις [7]	Λύνξ
Κροκόττας [1]	Ἄρκ[τ]ος	Κροκοδιλοπάρδαλις [9]
Ἡ? ὀνοκενταύρα [2]	Τίγρις	Ῥινόκερως
Θώαντες [3]	Κ[α]μηλο[π]άρδαλι[ς] [8]	Χοιροπίθηκ(ος)
Ξιφι.... [4]	Λέαινα	[Κ]έφαλος?
Κῆπ[ον] [5]	Κροκόδιλος χερσαῖος	[Τρ]αγέλαφ[ος] [10]
[Ν]αβοῦς [6]	Σαῦ[ρ]ος....	

1. Plin., *Hist. nat.*, VIII, 107 : « (Hyaenae) coitu leaena aethiopica parit corocottam. » — 2. Aelian., *Hist. anim.*, XVII, 9. — 3. I. e. θῶες. — 4. Fortasse ξιφίας, quod nomen apro adscriptum legitur in gemma (*C. I. Gr.*, 7287). Figura tamen videtur hippopotami. — 5. Seu κῆφον : « Effigie lupi, pardorum maculis ». Plin., *Hist. nat.*, VIII, 70. — 6. *Ibid.*, 69, ubi asserit Plinius nabum et camelopardalin unum atque idem animal esse, alio nomine nuncupatum, non recte. — 7. I. e. lutra. — 8. Apud Gallos, *girafe*. — 9. Animal ignotum. — 10. Ita restituit Kaibel dubitans; traditur ΑΓΕΛΑΡΥ : « Eadem specie (ac cervi), barba tantum et armorum villo distans » Plin. (*Hist. nat.*, VIII, 120).

---

379. In agro Praenestino. — *Insc. gr. Sic. et Ital.*, 1601.

Θ(εοῖς) κ(αταχθονίοις). |
Πατρίδος ἐκ Ζμύρνης βρο|τοί μ' Εὐθαλέα καλέεσκον |
εἵνεκ' ἐμῆς ὥρης καὶ || μεγέθους ἐρατοῦ · |
ἀλλά με μοῖρ' ὀλοὴ πρὶν ἰού|λοις πλῆσαι παρειάς, |
ἥρπασε πὰρ φιλίων οὓς | τροφέας ἐκάλουν.

380. Portu. — *Insc. gr. Sic. et Ital.*, 917.

Ὑπὲρ σωτηρίας καὶ ἐπανόδου[1] | καὶ αἰδίου διαμονῆς τῶν κυρίων | αὐτοκρατό-ρ(ων) Σεουήρου καὶ Ἀντωνίνου | καὶ Ἰουλίας Σεβ(αστῆς) καὶ τοῦ σύνπαντος ‖ αὐτῶν οἴκου καὶ ὑπὲρ εὐπλοίας | παντὸς τοῦ στόλου τὴν Ἀδράστιαν[2] | σὺν τῷ περὶ αὐτὴν κόσμῳ | Γ. Οὐαλέριος Σερῆνος νεωκόρος | τοῦ μεγάλου Σαράπιδος, ‖ ὁ ἐπιμελητὴς παντὸς τοῦ | Ἀλεξανδρείνου στόλου[3] |, ἐπὶ Κλ. Ἰουλιανοῦ ἐπάρχου | εὐθενείας[4].

1. Anno 200 Severus Aegyptum e Syria adiit, qua perlustrata anno 201 in Syriam reversus est. — 2. De dea Adrastia cf. Roscher, *Lexicon der gr. und röm. Mythologie*, s. v. et Pauly-Wissowa, *Realencyclopädie*, s. v. — 3. De C. Valerio Sereno, curatore (?) classis Alexandrinae, cf. *Prosop. imp. rom.*, III, p. 377, n. 131. — 4. Claudius Julianus praefectus annonae anno p. C. n. 201; cf. *ibid.*, I, p. 382, n. 723.

---

381. Portu. — *Insc. gr. Sic. et Ital.*, 916. — In columna marmorea :

Διὶ Ἡλίῳ μεγάλῳ | Σ[αρ]άπιδι καὶ τοῖς | συ[ν]νάοις θεοῖς | τὸν θεοφιλέστατον ‖ πά[ππ]ον Μ. Αὐρ. | Σαρ[α]πίων παλαιστὴς | παράδοξος σὺν τῷ | πατρὶ Μ. Αὐρ. Δη[μ]ητρίῳ | τῷ [κα]ὶ [Ἁ]ρποκρα[τ]ίωνι, ‖ βο[υ]λευτῇ τῆς λαμ|προτάτης πόλεως | τῶν Ἀλεξανδρέων | εὐξάμενοι καὶ εὖ | τυχόντες ἀνεθήκα‖μεν ἐπ' ἀγαθῷ. |

Sub columna, in corona :

Χρυ|σάν|θινα[1].

1. Chrysanthina, ludi qui Sardibus celebrabantur.

---

382. Portu. — *Insc. gr. Sic. et Ital.*, 924.

Μ. Αὐρ. Δομνῖ[νος?.......] | βουλευτὴς ἀ[νέθηκεν?....] | τοὺς πατρίους [θεούς?.........]

---

383. Portu. — *Insc. gr. Sic. et Ital.*, 923.

..... ναύκληρος ὑπὲρ τῆς τῶν κυρίω|ν σωτηρίας καὶ τοῦ λαμπ[ροτάτου[1].........] | θεῷ ἀνέθηκα.

1. Cf. (*Insc. gr. Sic. et Ital.* 879) titulum sepulchralem Elpidii cujusdam naucleri Συμμάχων τῶν λαμπροτάτων.

384. Portu. — *Insc. gr. Sic. et Ital.*, 919.

Σερῆνος | Ξιφίδιος [1] | ὁ κράτιστος [2] | νεωκόρος ‖ ἐκ τῶν ἰδίων | ἀνέθηκα.

1. Videtur esse idem atque C. Valerius Serenus, curator classis Alexandrinae, de quo cf. supra n. 380. — 2. Dubium est utrum ὁ κράτιστος = vir egregius, an legendum sit : ὁ κράτιστος νεωκόρος, i. e. egregius neocorus.

---

385. Portu. — *Insc. gr. Sic. et Ital.*, 925.

Ἁγνῆς εὐσέμνοιο σπείρης [1] Τραιανησίων [2] οἵδε |
ἱερεῖς ἱέρειά τε θεοῦ μεγάλου Διωνύσου. |
Λ. Σούλλιος Λ[ε]ωνίδης καὶ (vacat) | καὶ Ἰουλία Ῥουφεῖνα, ἐπὶ παραστάτῃ [3] Σεκούνδῳ.

1. I. e. collegii; cf. supra n. 52. — 2. Trajanenses memorantur in titulo Ostiensi (*C. I. L.*, XIV, 4). — 3. Praepositus seu magister collegii.

---

386. Portu. — *Insc. gr. Sic. et Ital.*, 922.

Ὑπὲρ ὑγίας καὶ νίκης Αὐτοκ[ράτορος Καίσαρος Μ. Αὐρηλίου Ἀντωνίνου....] | καὶ Ἰουλίας Σεβαστῆς μητρ[ὸ]ς Σεβαστοῦ καὶ στρατοπέδων | Φηλικίσσιμος εὐξάμ[ενος ἀνέθηκεν.....]

---

387. Portu. — *Insc. gr. Sic. et Ital.*, 926.

Ἀγα[θ]ῇ τύχῃ. | Αὐτοκράτορα Καίσαρα | Μ. Ἀντώνιον | Γορδιανὸν Εὐσεβῆ ‖ Εὐτυχῆ Σεβαστὸν | τὸν θεοφιλέστατον | κοσμοκράτορα ἡ πόλις | ἡ τῶν Γαζαίων [1] ἱερὰ καὶ | ἄσυλος καὶ αὐτόνομος, ‖ πιστὴ [καὶ] εὐσεβὴς, λαμπρὰ | καὶ μεγάλη, ἐξ ἐνκ[ε]λ[ε]ύσεως | τοῦ πατρίου θεοῦ [2] | τὸν ἑαυτῆς εὐεργέτην, | διὰ Τιβ. Κλ. Παπει‖ρίου ‖ ἐπιμελητοῦ τοῦ ἱεροῦ.

1. Gaza, urbs Palaestinae notissima. — 2. Gazae deus patrius, Marnas; cujus templum *Marneion* dictum, a scriptoribus christianis memoratum est. Verisimile est propter ejus dei cultum Gazam ἱεράν dictam esse. De deo Marno cf. De Saulcy, *Numismatique de la Terre Sainte*, p. 209; Barclay V. Head, *Hist. num.*, p. 680-681.

388. Portu. — *Insc. gr. Sic. et Ital.*, 949.

Κλαύδιος | Ἰωσῆς ἄρ|χων [1] ἔζη|σεν ἔτη ‖ λε΄.

1. Ἄρχων scilicet synagogae Judaïcae, ut vult J. B. de Rossi, qui titulum aetati imperatoris Claudii tribuit (*Bull. di archeol. crist.*, IV, 1866, p. 40).

---

389. Ostiae. — *Insc. gr. Sic. et Ital.*, 914.

In antica :

[Ὑπὲρ] σωτη[ρίας] |.... Μάρκου Αὐρηλίου | Σεουήρου Ἀλεξάνδρου | Εὐτυχοῦς Εὐσεβοῦς Σεβ(αστοῦ) ‖ καὶ Ἰουλίας [Μαμαίας] | Σεβαστῆς μητρὸς Σεβ(αστοῦ) | Διὶ Ἡλίῳ | μεγάλῳ Σαράπιδι | καὶ τοῖς συννάοις ‖ θεοῖς | Μ. Αὐρήλιος Ἥρων | νεωκόρος τοῦ ἐν | Πόρτῳ Σαράπιδος, ἐπὶ | Λαργινίῳ Βειταλίωνι ‖ ἀρχιυπηρέτῃ [1] καὶ κα|μεινευτῇ [2] καὶ Αὐρηλίῳ | Ἐφήβῳ καὶ Σ[α]λωνίῳ Θε[ο]|δότῳ ἱεροφώνοις [3] | καὶ καμεινευταῖ[ς [2] κ]αὶ? ‖ τῇ ἱεροδουλείᾳ [4], ἀνέ|θηκεν ἐπ' ἀγαθῷ. |

In latere :

Ἐπ' ἀγαθῷ · | ἐπὶ | Γρανίου Ῥωμα[νοῦ ?]

1. Supremus dei minister. — 2. Καμεινευταὶ sacrum ignem curabant. — 3. Ἱερόφωνοι dicebantur ii qui fatidica responsa dei tradebant. — 4. Tacetur nomen hierodulae. — De hoc titulo cf. Lanciani, in *Bullett. dell' Instit.*, 1868, p. 237 ; G. Lafaye, *Histoire du culte des divinités d'Alexandrie*, p. 133 et seq.

---

390. Ostiae. — *Insc. gr. Sic. et Ital.*, 915 ; *C. I. L.* XIV, 47.

Διὶ Ἡλίῳ μεγάλῳ | Σαράπιδι καὶ τοῖς συννάοις | θεοῖς τὸ κρηπίδειον, λαμπάδα | ἀργυρᾶν, βωμοὺς τρεῖς, πολύλυχνον, ‖ θυμιατήριον ἔνπυρον, | βάθρα δύο | Λ. Κάσσιος | Εὐτύχης, | νεωκόρος τοῦ μεγάλου ‖ Σαράπιδος, | ὑπὲρ εὐχαριστίας | ἀνέθηκεν ἐπ' ἀγαθῷ. |

Permissu | C. Nasenni ‖ Marcelli | pontificis Volcani [1] | aedium sacrarum | Q. Lolli Rufi Chrysidiani | et M. Aemili Vitalis ‖ Crepereiani II uir.

1. De sacris et sacerdotibus Volcani Ostiensis cf. *C. I. L.*, XIV, p. 5.

391. Ostiae. — *Insc. gr. Sic. et Ital.*, 920.

Σερῆνος [1] νεοκόρος ἀνέθηκεν.

1. Cf. supra n. 384; adde *Insc. gr. Sic. et Ital.*, 921, originis non satis certae, ubi legitur :

Σερῆνος | ὁ πρεσβύτατος | νεωκόρος ἀνέθηκα.

---

392. Ostiae. — *Insc. gr. Sic. et Ital.*, 918.

Ὑπὲρ σωτηρίας καὶ διαμονῆς | τοῦ κυρίου αὐτοκράτορος | Κομμόδου Σεβαστοῦ [1] | οἱ ναύκληροι [2] τοῦ πορευτικοῦ Ἀλεξανδρείνου στόλου [3].

1. Nomina Commodi erasa, postea in litura reposita sunt. — 2. Ναύκληροι = navicularii. — 3. Classis oneraria, per quam Aegyptium frumentum Ostiam vehebatur, jam supra memorata (n. 380); aliud est Alexandrina classis, quae Ægyptum tuebatur.

---

393. Ostiae. — *Insc. gr. Sic. et Ital.*, 933. Periit lapis.

Εὐτυχεῖτε. |
Μάγνης ἐκ | Φρυγίης [1]. Σκυ|θίη δέ με παρ||θένος Αἴπη [2]
ἔ|τρεφ' ἐλαιηρῶι | Μανθίωι ἐν πε|δίωι [3],
παλίσκι|ον λιπόντα Μα||γνήτων πόλιν. |
Εὐπλοεῖτε.

1. Immo ex Ionia. — 2. Sensus paulo obscurior. Pro ΑΙΠΗ nonnulli inter priores editores conjecerunt ΑΓΝΗ. Quod si probaveris, scribere poteris σκυθίη Παρθένος ἁγνὴ, nempe Ἄρτεμις Λευκοφρυηνὴ quam urbis patronam Magnetes colebant. — 3. Planities non longe ab oppido sita; cf. *Die Inschr. von Magnesia am Maeander*, 1900, n. 17, v. 48 : κ[α]ὶ Ἀμανθίου αἰπὺ ῥέεθρον.

---

394. Ostiae. — *Insc. gr. Sic. et Ital.*, 928.

D. M. | Ἔλεις [1] Μοσχιαν|ὸς βετρᾶνος ἐ|πύ<ε>ησεν [2] Ἐλείῳ || πατρεὶ βετρά νῳ μνία(ν) Μοσχ|ιανῷ.

1. I. e. Αἴλις = Αἴλιος = Aelius. — 2. Ἐποίησεν.

---

395. In agro Tusculano. — *Insc. gr. Sic. et Ital.*, 1120.

Φήμηι εὐαγγέλωι.

396. Haud procul a Tusculo. — *Insc. gr. Sic. et Ital.*, 1860.

Θ(εοῖς) κ(αταχθονίοις). |
Σμυρναῖος Μοσχιανὸς | ἐπεὶ θάνον ἐνθάδε | κεῖμαι,
κωμῳδὸς καὶ ‖ τοῦτο διαικρίνει γε | τὸ σῆμα [1].
Μαρκιανὸς | δέ μ' ἔθαψε καὶ ἐκήδευ|σεν, ὀδεῖται,
μήτε νέ|κυν προλιπὼν μητ' ἐν ‖ ζωοῖς ἔτ' ἐόντα · |
νοσφισθεὶς βιότου | δὲ τέλος καὶ μοῖραν | ἔπλησα.

1. « Σῆμα fortasse πρόσωπον κωμικόν in sepulcro exsculptum. » Kaibel.

---

397. Prope Lanuvium, in ruderibus villae Antonini Pii. — *Inscr. gr. Sic. et Ital.*, 1249. — Uterque titulus inscriptus est truncis, quibus innitebantur duae Panis imagines plane aequales.

a) Μάαρκος | Κοσσού|τιος | Μαάρκου ‖ ἀπελεύ|θερος | Κέρδων [1] | ἐποίει.
b) Μαάρκος | Κοσσού|τιος | Κέρδων [1] ‖ ἐποίει.

1. De M. Cossutio Cerdone, cf. Mommsen, in *Eph. epigr.*, I, p. 286; Löwy, *Inschr. griech. Bildhauer*, n. 376.

---

398. Sub monte Albano. — *Inscr. gr. Sic. et Ital.*, 1118.

Διὶ Κεραυνίωι [1].

1. Jupiter Tonans vel Fulgurator.

---

399. In vico Genzano. — *Inscr. gr. Sic. et Ital.*, 1122; *C. I. L.*, XIV, 2109.

A. Terentio A. f. Varr(oni) | Murenae [1] | Ptolemaiei Cyrenens(es) [2] | patrono ‖ διὰ πρεσβευτῶν | Ιτθαλλάμονος τοῦ Ἀπελλᾶ, | Σίμωνος τοῦ Σίμωνος.

1. Consul anno 731 = 23 a. C. n. (cf. Henzen, *Bullett. dell' Inst.*, 1848, p. 75, et *Prosop. imp. rom.*, III, p. 303, n. 74). Titulum Augusto antiquiorem judicabat Borghesi et Murenam pro consulis ejusdem patre, anno 711 a triumviris proscripto, habebat (*Œuv.*, VII, p. 489). — 2. I. e. cives urbis Ptolemaïdis in Cyrenaïca.

---

400. Albae, in cippo utrinque inscripto. — *Inscr. gr. Sic. et Ital.*, 1584.

a. Ἑρμίαι | Βαργυλιήτηι [1] | Λ. Ἀτείλιος | Καισειλιανὸς ‖ φίλωι καὶ | τροφίμωι.

b. Λ. Κλαυδίωι | Διοδώρωι | Λ. Ἀτείλιος | Καισειλιανὸς ‖ φίλωι καὶ | τροφίμωι | εὐσεβεστάτωι | καὶ γλυκυτάτωι.

1. Bargylia, urbs Cariae.

---

401. Nemore, in area Artemisii. — *Insc. gr. Sic. et Ital.*, 1121; *C. I. L.*, XIV, 2218.

C. Salluio C. f. Nasoni leg. pro pr. [1] | Mysei Ab[b]aitae et Epict[ete]s [2], | quod eos bello Mithrida[ti]s | conseruauit, uirtutis ergo. ‖

Γ[αί]ωι Σαλλουίωι Γαίου υἱῶι Νάσωνι [1] | πρεσβευτῇ καὶ ἀντιστρατήγωι Μυσοὶ | Ἀββαιεῖται καὶ Ἐπικτητεῖς [2], ὅτι αὐτοὺς | ἐν τῶι πολέμῳ τῶι Μιθριδάτους | διετήρησεν, ἀνδρήας ἕνεκεν.

1. Circa annum 72 p. C. n. Naso videtur in Asia vices gessisse L. Luculli proconsulis; cf. Th. Reinach, *Rev. de philol.*, 1890, p. 148 et *Mithridate Eupator*, p. 329. — 2. Populi Mysiae memorati a Strabone (XII, 8, §§ 11 et 12; XIII, 4, § 4).

REGIO I

402. Velitris. — *Insc. gr. Sic. et Ital.*, 911 ; *C. I. L.*, X, 6569.

In sinistra frontis parte :

Sex. Vario Marcello | proc. aquar. c̄ [1], proc. prou. Brit(anniae) c̄c̄ [2], proc. rationis | priuat. c̄c̄c̄ [3], uice praef(ectorum) pr(aetorio) et Vrbi functo, | c. u., praef. aerari militaris, leg. leg. ĪĪĪ Aug., ‖ praesidi prouinciae Numidiae, | Iulia Soaemias Bassiana c. f. cum filis | marito et patri amantissimo [4].

In dextra frontis parte :

Σέξτῳ Οὐαρίῳ Μαρκέλλῳ | ἐπιτροπεύσαντι ὑδάτων, ἐπιτροπεύσαντι ἐπαρχείου | Βριταννείας, ἐπιτροπεύσαντι λόγων πρειβάτης, πιστευ|θέντι τὰ μέρη τῶν ἐπάρχων τοῦ πραιτωρίου καὶ Ῥώμης, ‖ λαμπροτάτῳ ἀνδρί, ἐπάρχῳ ἐραρίου στρατιωτικοῦ, | ἡγεμόνι λεγειῶνος γ' Αὐγούστης, ἄρξαντι ἐπαρχείου Νουμιδίας | Ἰουλία Σοαιμιὰς Βασσιανὴ σῦν τοῖς τέκνοις τῷ προσ|φιλεστάτῳ ἀνδρὶ καὶ γλυκυτάτῳ πατρί.

1. Centenario. — 2. Ducenario. — 3. Trecenario. — 4. De Sex. Vario Marcello, patre imperatoris Elagabali, cf. *Prosop. imp. rom.*, III, p. 386, n. 192; Pallu de Lessert, *Fastes des provinces africaines*, I, p. 417 et sqq.

---

403. Velitris. — *Insc. gr. Sic. et Ital.*, 912. Periit.

Δ(ις) Μ(ανιβυς). | Σπιριτ. Β. | Φλαβιαι Αλβιναι | Λ. Π. φιλιαι κομμενδατο ‖ κινερες | αρκα κονδο. | Α. Β. Κ. Φ' Λ' Δ'.

Titulus latinus litteris graecis; pleraque non plane intelliguntur : *D(is) M(anibus). Spirit(ibus) b(onis)? Flaviae Albinae L. P.? filiae cum mandato? cineres arca condo.* Ultimi versus litterae quid significent omnino nos fugit.

---

404. Sorae. — *Insc. gr. Sic. et Ital.*, 905.

Θ(εοῖς) κ(αταχθονίοις). | Κεῖτε ὧδε Ἀειδία Ἀγριππῖνα ἐκδημήσασα | δύσιν καὶ

ἀνατολὴν[1], καλῶς βιώσασα, μη|δενὶ μηδὲν ὀφείλουσα. Κελεύ[ω] τοὺς ‖ ἀπελευθέρους μου καὶ εἴ τις ἕτερος | ἄλλος, μὴ ἐξὸν αὐτῷ εἶνε μήτε | ....

1. I. e., postquam et Occidentis et Orientis partes peragravit.

---

405. Ad Lirim, in oppido nunc dicto Ponte Corvo. — *Insc. gr. Sic. et Ital.*, 904; *C. I. L.*, X, 5385.

Εὐχὴ | Ἡρακλῆ Θαλλοφόρῳ[1] | ἱερῷ εὐακούστῳ · | Λ. Κορνήλιος Λ. Κορνη‖λίου Πρειμιγενίου | υἱὸς Παλ(ατίνα) Τερεντιανὸς | καὶ Λήμνιος ἀπελεύθερος | ἐποίησαν. |

Herculi Pacifero ‖ inuicto sancto | sacr. | uoto suscepto | L. Cornelius L. f. | Pal. Terentianus ‖ et Lemnius libertus | merito libentes | fecerunt.

1. Ramum olivae ferenti, hinc Pacifero.

---

406. Caietae, in fragmento columnae duodecim angulorum, quorum quinque muro inserti legi nequeunt. — *Insc. gr. Sic. et Ital.*, 906; *C. I. L.*, X, 6119.

a. Λίψ. | Afri|cus.
b. Λιβό|νοτος. | Austro|africus.
c. Νό|τος. | Aus|ter.
d. [Εὐρό]|νοτος. | Euro|auster.
e. Εὖ|ρος. | Eu|rus.
f. [Ἀπηλ]ιώ|της. | [S]ola|nus *sive* [Subs]olanus.
g. [K]α[ι|κί]ας?, [Vultur]|nus.

---

407. Suessae Auruncae. — *Insc. gr. Sic. et Ital.*, 888.

Τὸν πάσης ἀρε|τῆς εἰδήμονα φῶτα | Φίλιππον
πρέσβυν Εἰαο|νίης ἐμπέραμον σοφίης. ‖
Αὐσονίων ὑπάτου πατέρα κλυ|τὸν Ἀντιγόνοιο[1]
Θρέψε Μακη|δονίη, δέξατο δὲ Ἰταλίη.

1. Antigonum ab imperatore Antonino Severi filio inter praetorios adlectum esse adnotat Klebs (*Prosop. imp. rom.*, I, p. 81, n. 573). Consulatu postea eum functum esse hoc titulo monemur.

408. Sinuessae. — *Insc. gr. Sic. et Ital.*, 889.

Ἰουνίωρος[1]. ¦
Ἀκταῖς τὴν ὅμορον Σινυησσίσιν Ἀφρογένειαν,[2] |
ξεῖνε, πάλιν πελάγους βλέψον ἀνερχομένην· |
ναοί μοι στίλβουσιν ὑπ' ἠόνος, ἥν ποτε κόλποις ‖
Δρούσου[3] καὶ γαμετῆς θρέψεν ἄθυρμα δόμος. |
Ἐκ δὲ τρόπων πειθώ τε καὶ ἵμερον ἔσπασε κείνης |
πᾶς τόπος, εἰς ἱλαρὴν ἄρτιο[ς] εὐφροσύνην. |
Βάκχου γὰρ κλισίαις[4] με συνέστιον ἐστεφάνωσεν, |
εἰς ἐμὲ τὸν κυλίκων ὄγκο[ν] ἐφελκομένη ‖.
Πηγαὶ δ' αὖ περὶ πέζαν ἀναβλύζουσι λοετρῶν[5], |
παῖς ἐμὸς ἃς καίει σὺν πυρὶ νηχόμενος. |
Μή με μάτην, ξεῖνοι, παροδεύετε, γειτνιόωσαν |
πόντῳ καὶ Νύμφαις Κύπριδα καὶ Βρομίῳ.

1. Est nomen poetae qui haec carmina finxit, Veneris statuae subscripta. Hunc Juniorem Kaibel habet pro Lucilio Juniore Senecae amico; Rubensohn vero negat (*Jahrbüch. für class. Philolog.*, 1889, p. 774 sqq.). Cf. *Prosop. imp. rom.*, II, p. 232 n. 464ª. — 2. Venerem. — 3. Drusus major, Antoniae, vel Drusus minor, Liviae maritus. — 4. Intellige tabernas vinarias. — 5. Thermae.

---

409. Capuae. — *Insc. gr. Sic. et Ital.*, 882; *C. I. L.*, X, 3812.

Δεσποίνῃ Νεμέσει | καὶ συννάοισι θεοῖσιν |
Ἀρριανὸς[1] βωμὸν | τόνδε καθειδρύσατο. ‖
Iustitiae, Nemesi, | Fatis quam uouerat aram |
Numina sancta colens | Cammarius[1] posuit.

1. « Nota hominem in graeco epigrammate justo cognomine usum esse, in latino, signo. » Mommsen.

---

410. In Aenaria insula. — *Insc. gr. Sic. et Ital.*, 891.

Ἡλίῳ | Μίθρᾳ | ἀνικήτῳ.

411. In Aenaria insula. — *Insc. gr. Sic. et Ital.*, 892.

Μ[έ]νιππος ἰατρὸς Ὑπαλπῖνος [1] Νύμφαις |
Νιτρώδεσι καὶ Ἀπόλλωνι ε[ὐ]χὴν ἀνέθηκεν.

1. « Menippum putat Mommsenus certa sede nulla per Transpadanam artem exercuisse, nam loci indicationem neque origini neque domicilio enuntiando aptam esse. » Kaibel. Cf. *C. I. L.*, X, ad n. 6786.

---

412. In Aenaria insula. — *Insc. gr. Sic. et Ital.*, 893; *C. I. L.*, X, 6797.

In antica :

L. Rantius L. f. Tro. Lymphieis [1] (*sic*).

Λεύκιος Ῥάντιος Λευκίου | υἱὸς Νύμφαις.

1. I. e. Nymphis.

---

413. In Caprea insula. — *Insc. gr. Sic. et Ital.*, 897.

..... Σεβαστῶι.... [.... Φού]λουιος Ἀπε[λλῆς?......] | [....... ἀγορα]νομήσαντε[ς.....

« Scripta fuerunt sub statua Augusti cujusdam, quam duo vel tres homines ἀγορανομήσαντες..... dedicaverunt. » Kaibel.

---

414. Cumis vel Miseni. — *Insc. gr. Sic. et Ital.*, 873; *C. I. L.*, X, 3336.

Deo | Magno | et Fato | Bono || Val. Valens [1] | u. p. praefect. | classis Mis. | P. V. Gordianae [2] | uotum soluit. ||

Θεῷ Μεγίστῳ καὶ Καλῇ Μοίρᾳ | Οὐάλης [1]
ἀρχὴν λαχὼν ἔπαρ|χον Μεισηνῶν στόλου
ἔστη|σα βωμὸν ἐκτελῶν εὐχὴν | ἐμήν.

1. De Valerio Valente, viro perfectissimo, praefecto vigilum vices agente praefectorum praetorio inter annos 241-244, cf. Borghesi, *Œuvr.*, X, p. 129 et *Prosop. imp. rom.*, III, p. 378-379, n. 147. — 2. Quum Gordianus imperium adeptus sit anno 238, titulus post eum annum exaratus est.

415. Cumis, in lamina plumbea, cui insculpta sunt mystica signa. — *Insc. gr. Sic. et Ital.*, 872.

Ὀ[ρφν]αία ὀφιοφόρ<ι>ος, γλώ[σσ]ης τούτῳ σ[ε] ὑπ' ἐμὸν δεσμ[ὸν ἄγω?] [1]. | Δαίμονες καὶ πνεύματα οἱ ἐν τῷ [τό]πῳ τούτῳ θηλυκῶν καὶ ἀρρενικ[ῶν], ‖ ἐξορκίζω ὑμᾶς τὸ ἅγιον ὄνομ[α]· | Ερηκισ[ι]θφη Αραρ Αραχαραρα Ηφθισ.... [2] | Ἰαὼ Βέζεβυθ Λαναβις Αφλαν |.......... τὸν Ἅιδην τινάξω · ὁ τῶν ὅλων βασιλεὺς, ἐξεγέρθητι.... ‖ ὁ τῶν φθιμένων βασιλεὺς, ἐξα[νάστηθι] | μετὰ τῶν καταχθονίων θεῶν · ταῦτα γὰρ | γείνεται διὰ Οὐαλερίαν Κοδράτιλλαν, | ἣν ἔτεκεν Οὐαλερία Εὔνοια, ἣν ἔσπει|ρε Οὐαλέριος Μυστικὸς, ὡς [σ αφῶς ἀγγέ]λλω] ‖ πᾶσι ἔχθιστα [τὰ ὑπὸ] σκότος κατεπραγμ[ένα?]. | .....φορμα .... μενορσε... | ..μεν... διακόψ[ω.... τὴ]ν ὀργὴν τὴν | [... τῶν ἔνερθε]ν θε[ῶ]ν [3] τήν [τε..π]αρὰ τοῖς | ἐν φωτὶ [φ]ίλοι[ς εἰ]ς μεῖσος, εἰς χ[ό]‖λον θεῶν, εἰς [ὀργὴν?] ἐλ[θ]έτω | ἡ? Οὐαλερία Κοδράτιλλα, ἣν ἔτεκεν | Β[α]λερία Εὔνοια, ἣν ἔ[σπ]ειρε Βαλέριος | Μυστικός · μεισε[ίτω] αὐτὴν, λήθην | αὐτῆς λαβέτω Βετρούβιος ‖ Φῆ[λ]ιξ, ὃν ἔτεκεν Βετρούβια Μαξίμιλ[λα |, ὃ]ν ἔσπει[ρε Βετρού]βιος Εὐέλπιστος |............ Τυφών | .... βάρβαρα....|.. δότε εἰς μ[εῖ]‖σος Βετρουβίῳ Φήλικι, ὃν ἔ[τεκ]ε Βε|τρουβία Μαξίμιλλα, ὃν ἔσπειρ[ε Βε]τρού|βιος Εὐέλπιστος, εἰς μεῖσος ἐλθεῖν | καὶ λήθην λαβεῖν τῶν πόθων | Οὐαλερία[ς] Κοδρατίλλης, ἣν ἔσ[π]ειρε ‖ Βα[λέριος] Μυ[στι]κὸς, ἣν ἔτεκεν Βαλερία | [Εὔνοια ..... ὑ]ποκατέχετε ὑμεῖς | [αὐτὴν.... ταῖς ἐ]σχάταις τειμωρίαις | [καὶ ποιναῖ]ς ὅτι πρώτη ἠθέτησ[ε | τὴν πίστιν? πρὸς Φ]ήλικα τὸν ἑαυτῆς ἄνδρα ‖ [.......... κ]αὶ ἀκού[σ]ατε ὑμ[εῖς......

1. Ita Franz in *C. I. Gr.*, 5858 *b*. — 2. De his formulis vel nominibus cf. R. Wünsch, *Sethianische Verflüchungstafeln aus Rom*, pp. 45 et 81. — 3. Ita, in *C. I. Gr.*, *loc. cit.*

---

416. Baiis. — *Insc. gr. Sic. et Ital.*, 879.

Ἐλπίδιος ναύ|κληρος Συμμά|χων τῶν λαμπ|ροτάτων ἐνθ‖άδε κῖται.

« Aut collegium vel societas Symmachorum dicitur, cujus Elpidius ναύκληρος fuit, aut, quod Mommseno videtur, Symmachorum virorum clarissimorum Elpidius servus dicitur navi praefectus. » Kaibel.

---

417. Ad Baias. — *Insc. gr. Sic. et Ital.*, 880.

Θ(εοῖς) κ(αταχθονίοις). Ἱέρων [1] | Μάρκου κυβερ|νήτης [2] Νικομη|δεὺς, ζήσας ἔτη ‖ ξε'. Διονῦσις Ἱέ|ρωνος υἱὸς αὐ[τοῦ ἔθαψα ἐκ τῶν | ἰδίων.

1. Sic legit Henzen; in lapide Ο·ΚΙΚΕΡΩΝ. — 2. I. e., gubernator navis.

418. Puteolis. — *Insc. gr. Sic. et Ital.*, 829.

['Α]γαθῆι τύ[χ]ηι. Ζεὺς σω[τήρ] |. Ἡ Κιβυρατῶν πόλις [1] ἄποικος Λ[ακεδαιμονίων [2] καὶ] | συγγενὶς Ἀθηναίων καὶ φι[λορώμαιος [3] καὶ | αὐτὴ τοῦ κοινοῦ τῆς Ἑλλάδος [4] [ἐν ταῖς μάλιστα] | ἐνδόξοις οὖσα καὶ μεγάλαις [τῆς Ἀσίας πόλε]σιν διά τε τὸ γένος Ἑλληνι[κὸν καὶ διὰ τὴν] | πρὸς Ῥωμαίους ἐκ παλαιοῦ φι[λίαν καὶ εὔνοι]|αν καὶ διὰ τὸ ηὐξῆσθαι τειμαῖ[ς μεγάλαις ὑπὸ | Θεοῦ Ἁδριανοῦ ἀνέθηκε τῆι [..........δό]|γμα τ[οῦ] Πανελληνίου [5] ἐνγρα[...

1. Cibyra, urbs in confinio Phrygiae et Lyciae sita. — 2. Restituit Ad. Wilhelm, *Arch. epigr. Mittheil.*, XX (1897), p. 78, collato titulo Oenoandis reperto (Benndorf, *Reisen in Lykien*, II, p. 180 et seqq.). Quo docemur Cibyram urbem a Lacedaemoniis Amycla et Cleandro conditam esse. Cf. etiam Benndorf, *Arch. epigr. Mittheil.*, *ibid.*, p. 79. — 3. Vel φιλόκαισαρ vel φιλοσέβαστος ut vidit W. Drexler, *Jahrb. für class. Philol.*, 1894, p. 329. — 4. Hoc κοινὸν τῆς Ἑλλάδος nihil aliud est atque τὸ Πανελλήνιον, ab Hadriano imperatore institutum, de quo cf. P. Guiraud, *Les Assemblées provinciales*, p. 47. — 5. Cur hic titulus Puteolis positus fuerit, nos fugit.

---

419. Puteolis. — *Insc. gr. Sic. et Ital.*, 831; *C. I. L.*, X, 1601.

[S]acerdos siliginius [1] ...... | Tyros m[etropolis ....] | foede[rata [2] ......]. | Τύρος ἱερὰ καὶ ἄσυλος κ[α]ὶ αὐτόνομος μητρό[|πολις [3] Φοινείκης [καὶ τῶν κατὰ Κοίλην Συρίαν [4]] | πόλεων | [Θ]εῷ ἁγίῳ.......

1. Haec verba videntur posterius addita fuisse. — Sacerdos siliginius is erat forsitan qui accipiebat deo offerendos panes siliginios, i. e. e siligine, tritici laudatissimo genere, factos. — 2. « Foederata urbs Tyrus alibi quod sciam non dicitur. » Mommsen. — 3. Cf. infra n. 421. — 4. Haec supplementa Haussoullier nobis suppeditavit deprompta ex titulo adhuc inedito quem Didymis reperit.

---

420. Puteolis. — *Notizie degli scavi*, 1891, p. 167. Nunc Michigan, in museo. Ectypum benigne misit Walter Dennison.

Ἐπὶ ὑπάτων Λουκίου Καισε [1]....... | καὶ Τυρίοις ἔτους σδ' μηνὸς Ἀρ[τεμ]|ισίου ια' [2] κατέπλευσεν ἀ[πὸ] | Τύρου εἰς Ποτι[ό]λοις Θεὸς [Ἡλ]|ιος Σαρεπτηνὸ[ς] [3] ἤγαγεν [δὲ] | Ἠλεὶμ [4] κατ' ἐπιτολήν.... |

Pro salute Imp. Domitiani [Aug. [5]....;] | l(ocus) c(oncessus) [d(ecreto) [1].....

1. V. 1 et 7, litteris paulo minoribus exarati sunt. — 2. Dies XI mensis Artemisii est dies XXIX mensis Maii; annus 204 aerae Tyriorum respondet anno p. C. n. 79 (cf. Pauly-

Wissowa, *Realencyclopädie*, s. v. Aera, I, p. 647). At eo anno ordinarium consulatum egerunt Vespasianus VIIII, Titus VII; nec suffectos consules ullos fasti memorant. — 3. Vel ιος Ἀρεπτηνός. Σαρεπτηνὸς proposuit Am. Hauvette : urbs Sarapta inter Tyrum et Sidonem sita erat. Areptam vicum nullum novimus; Arefa memoratur in Phaenicia (*Notit. Dignit. Or.*, XXXII, 39). Cf. etiam Ἀρεμθηνὸς in titulo lectionis certae apud Clermont-Ganneau, *Rec. d'arch. orient.*, I, 95. De Aremtha nihil scimus. — 4. Nomen viri. — 5. Anno 79 Domitianus nondum praenomen imperatoris acceperat, quod habuit demum, patre mortuo, anno 81 (Gsell, *Essai sur le règne de Domitien*, p. 30). Fieri potest ut titulus biennio aut triennio postquam res advenerat exaratus sit.

---

421. Puteolis. — *Inscr. gr. Sic. et Ital.*, 830.

Ἐπιστολὴ γραφεῖσα τῇ πόλει | Τυρίων, τῆς ἱερᾶς καὶ ἀσύλου καὶ αὐτονόμου μητροπόλεως Φοινείκης καὶ ἄλλων πόλε|ων καὶ ναυαρχίδος. Ἄρχουσι, βουλῇ καὶ δήμῳ [1] τῆς κυρίας πατρίδος οἱ ἐν | Ποτιόλοις κατοικοῦντες χαίρειν. ‖

Διὰ τοὺς θεοὺς καὶ τὴν τοῦ κυρίου ἡμῶν αὐτοκράτορος [2] τύχην εἰ καί τις ἄλλη στατί|ων ἐστὶν ἐν Ποτιόλοις, [ὡ]ς οἱ πλείους ὑμῶν ἴσασι, καὶ [ἡ] ἡμετέρα ἐστὶν καὶ κόσμῳ καὶ | μεγέθει τῶν ἄλλων διαφέρουσα · [3] ταύτης πάλαι μὲν ἐπεμελοῦντο οἱ ἐν Ποτιόλοις κα|τοικοῦντες Τύριοι <οι> πολλοὶ ὄντες καὶ πλούσιοι · νῦν δὲ εἰς ὀλίγους ἡμᾶς περιέστη τὸν | ἀριθμὸν, καὶ ἀναλίσκοντες εἴς τε θυσίας καὶ θρησκείας τῶν πατρίων ἡμῶν θεῶν ἐνθά‖δε ἀφωσιωμένων ἐν ναοῖς, οὐκ εὐτονοῦμεν τὸν μισθὸν τῆς στατίωνος παρέχειν κα|τ' ἔτος δηναρίων σν', μάλιστα ᾗ καὶ τὰ ἀναλώματα εἰς τὸν ἀγῶνα τὸν ἐν Ποτιόλοις τῆς βουθουσίας [4] | ἡμεῖν προσετέθη. Δεόμεθα οὖν προνοῆσαι ὑμᾶς τοῦ διαμένειν ἀεὶ τὴν στατίωνα · διαμεν|εῖ δέ, ἐὰν πρόνοιαν τῶν κατ' ἔτος διδομένων εἰς τὴν μίσθωσιν δηναρίων σν' ποιήσασθε · τὰ γὰρ ἕτε|ρα ἀναλώματα καὶ τὰ γεινόμενα εἰς ἐπισκευὴν τῆς στατίωνος εἰς τὰς ἱερὰς ἡμέρας τοῦ ‖ κυρίου αὐτοκράτορος συνπεσούσης ἑαυτοῖς ἐλογισάμεθα, ἵνα μὴ τὴν πόλιν βαρῶμεν. | Ὑπομιμνήσκομεν δὲ ὑμᾶς, ὅτι οὐδεμία πρόσοδος γείνεται οὔτε παρὰ ναυκλήρων | οὔτε παρὰ ἐμπόρων τῇ ἐνθάδε στατίωνι ὡς ἐν τῇ <βασιδι> βασιλίδι Ῥώμῃ. Παρακαλοῦμεν | οὖν καὶ δεόμεθα ὑμῶν τῆς τύχης φροντίσα[ι] τε (καὶ) τοῦ πράγματος. Ἐγράφη ἐν Ποτι|όλοις πρὸ ι' καλανδῶν Αὐγούστων Γάλλῳ καὶ Φλάκκῳ Κορνηλιανῷ ὑπάτοιν [5]. ‖

Ἀπὸ ἄκτων βουλῆς ἀχθείσης κα' Δίου τοῦ ἔτους τ' [6], ἐφημεροῦντος [7] Γ. Οὐαλερίου | Καλλικράτους Παυσανίου προέδρου. |

Ἀνεγνώσθη ἐπιστολὴ Τυρίων στατιωναρίων ἀναδοθεῖσα ὑπὸ Λάχητος | ἑνὸς αὐτῶν, ἐν ᾗ ἠξίο[υ]ν πρόνοιαν ποιήσασθαι αὐτοῖς δηναρίων σν' · (ἀναλίσκειν γὰρ)

εἴς τε θυσίας | καὶ θρησκείας τῶν πατρίων ἡμῶν θεῶν ἐκεῖ ἀφωσιωμένων ἐν ναοῖς, || καὶ μὴ εὐτονεῖν τὸν μισθὸν τῆς στατίωνος παρέχειν κατ' ἔτος δηναρίων [σν'], | καὶ τὰ ἀναλώματα εἰς τὸν ἀγῶνα τὸν ἐν Ποτιώλοις τῆς βουθυσίας αὐ|τοῖς προστεθῆναι · τῶν γὰρ ἑτέρων ἀναλωμάτων (καὶ τῶν) γεινομένων εἰς ἐπι|σκευὴν τῆς στατίωνος εἰς τὰς ἱερὰς ἡμέρας τοῦ κυρίου αὐτοκράτορος σ[υν]|πεσούσης αὐτοῖς ἐλογίσαντο, ἵνα μὴ τὴν πόλιν βαρῶσιν · καὶ ὑπεμίμνη||σκον ὅτι οὐδεμία πρόσοδος γείνεται αὐτοῖς οὔτε παρὰ ναυκλήρων οὔτε | παρὰ ἐμπόρων ὡς ἐν τῇ βασιλίδι Ῥώμῃ. Μεθ' ἣν ἀνάγνωσιν Φιλοκλῆς Διοδώρου εἶπεν · Οἱ ἐν Ῥώμῃ στατιωνάριοι ἔθος εἶχον ἀεί ποτε ἐξ ὧν αὐτοὶ λαμ|βάνουσιν παρέχειν τοῖς ἐν Ποτιόλοις δηναρίους σν' · ἀξιοῦσι καὶ νῦν οἱ ἐν Ποτιόλοις | στατιωνάριοι αὐτὰ ταῦτα αὐτοῖς τηρεῖσθαι ἢ εἰ μὴ βούλονται οἱ ἐν Ῥώμῃ αὐ||τοῖς παρέχειν, αὐτοὶ ἀναδέχονται τὰς δύο στατίωνας ἐπὶ τῇ αὐτῇ αἱρέσι. Ἐπεφώνησαν · Καλῶς εἶπεν Φιλοκλῆς · δίκαια ἀξιῶσι οἱ ἐν Ποτιόλοις · ἀεὶ | οὕτως ἐγείνετο καὶ νῦν οὕτως γεινέσθω · τοῦτο τῇ πόλει συμφέρει · φυλαχθή|τω ἡ συνήθεια. Ἀνεγνώσθη πιττάκιον δοθὲν τὸ` ὑπὸ? Λάχητος Πρειμογε||νείας καὶ Ἀγαθόποδος υἱοῦ αὐτοῦ Τυρίων στατιωναρίων στατίωνος Τυρια|κῆς τῆς ἐν κολωνίᾳ Σεβαστῇ Ποτιόλοις, ἐν ᾧ ἐδήλουν παρέχειν τὴν ἡμετέραν | πατρίδα στατίωνας δύο, τὴν μὲν ἐν τῇ βασιλίδι Ῥώμῃ, [τὴν δὲ......

1203. Thebis, in crure Memnonis. — *C. I. Gr.*, 4722, cf. *addenda et corrigenda*, p. 1201; Dittenberger, *Orient. gr. insc. sel.*, II, 680. Contulimus.

Λούκιος Φουνεισουλανὸς | Χαρείσ[ι]ος στρατηγὸς Ἑρμων|θείτου Λατοπολείτου ἤκου|σα Μέμνονος δὶς πρὶν πρώ‖της ὥρας καὶ πρώτῃ σὺν | τῇ γυναικί μου Φουλβίᾳ Θὼθ΄ η΄ ἔτους ζ΄ [1] Ἁδριανου τοῦ | κυρίου.

1. Anno p. C. n. 122, mense Septembri die v. Idem carmina Memnoni inscripsit (*C. I. Gr.*, 4721).

1204. Thebis, in crure Memnonis. — *C. I. Gr.*, 4736; cf. *addenda et corrigenda*, p. 1203; Lepsius, *Denkmäler*, XII, tab. 77, n. 66.

Χαιρήμων ὁ κα[ὶ.......] | στρατηγὸς Ἑρ[μωνθείτου] | Λατοπολεί[του ἤκουσα] | τοῦ θειοτά[του Μέμνονος] ‖ σὺν τῇ ἀδελφ[ῇ μου...] | ἔτους ιθ΄ Ἁδριανοῦ [τοῦ κυρίου] | μηνὸς Ἁδριανοῦ [1]...

1. Anno p. C. n. 134 mense Novembri aut Decembri. Mensis Hadrianus = Choiak. Cf. Wilcken, *Gr. Ostr.*, I, p. 810.

1205. Thebis, in vico dicto Karnak. — G. Lefebvre, *Bull. de corr. hellén.*, XXVI (1902), p. 436; W. Spiegelberg, *Ann. du service des antiquités*, VII (1906), p. 251. Contulit de Ricci.

Διί Ἡλίῳ Ἄμ|μωνι θεῶι με|γίστωι Τιριτμὶς | Τεῶτος ἱέρισσα ‖ ἀνέθηκεν | κατὰ διαθήκην | Τεῶτος Ἰναρῶ|τος προφήτου | καὶ κορυφαίου ‖ πατρὸς εὐσεβεί|ας χάριν, ἐπ᾽ ἀγαθῶ[ι] | ἔτους κα΄ Μάρκου | Αὐρ[η]λίου [Κομμόδου] [1] | Ἀντωνίνου Καίσαρος ‖ τοῦ κυρίου Ἀθὺρ κα΄.

1. Nomen consulto erasum. Supplementum probatur titulo aegyptiaco, ab altera parte lapidi inscripto, in quo cognomen Sarmaticum deprehendere potuit Spiegelberg. Annus est 180 p. C. n.; dies xvii mensis Novembris.

1206. Thebis, in vico dicto Karnak. — Daressy, *Recueil des travaux,* XIX (1897), p. 13. Contulit de Ricci.

Καίσαρα Αὐτοκράτορα Θεοῦ υἱὸν Δία Ἐλευθέριον Σεβαστόν [1].

1. Divus Augustus sic in Aegypto appellatus est, cf. supra, n. 1163.

1207. Thebis. — De Ricci, *Comptes rendus de l'Acad. des Insc.*, 1905, p. 155, qui postea iterum descripsit; Clermont-Ganneau, *ibid.*, p. 525 et seq.

Pro salute Imp. Caesaris | Traiani Hadriani Aug. | domini n. voto Serenus | aram inst[r]u[x]it Ioui. Biduo || secutus Agriophagos nequ|issimos [1] quorum fere pars mai|or in pugna perit neque vulnera | [n]eque crei?......c ile [2] praedamque totam cum camelis apstulit.

Ὑπὲρ σωτηρίας Αὐτοκράτορος Καίσαρος | Τραιανοῦ Ἁδριανοῦ Σεβαστοῦ τοῦ κυρίου || Σουλπίκιος υἱὸς Γναίου Κουιρίνᾳ | Σερηνὸς Ἀγριοφάγους δει[νοτ|ά-τους [3] ....

1. De Agriophagis cf. Pseudo-Arrian, *Geogr. min.* (Didot, I, p. 257-258); Plin., *Hist. nat.*, VI, 75 et Solin, 306. Degebant in deserto inter Thebas et Berenicen. — 2. [n]eque damnum accepit, vel tale quid proposuit Clermont-Ganneau. — 3. δει[νοτάτους ἀνελὼν τὸν βωμὸν ἀνέθηκεν, id.

1208. Thebis. — *C. I. Gr.*, 4717; Strack, *Die Dynastie der Ptolemäer*, n. 157, p. 272. Contulit de Ricci.

[Βασιλευόντων Κλεοπ]άτρας Θεᾶ[ς] Φιλοπάτορ[ος καὶ Π]το[λεμαίου τ]οῦ καὶ Κα[ί]σαρος [Θ]εοῦ Φιλοπάτορος Φιλο|[μήτορος [1] ἔτους [2] ...... Ἀρτ]εμισίου κβ'? Φαμενὼθ .β'? [ἔδο]ξε τοῖς ἀπὸ Διοσπόλεως τῆς μεγάλη[ς ἱερεῦσι τοῦ | [μεγίστου θεοῦ Ἀμο]νρασωνθὴρ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἄλλοις πᾶσι...

Sequitur decretum in honorem Callimachi datum, qui fame et pestilentia Aegyptum vastantibus optime de Thebis et universo nomo meruisse dicitur.

1. Filium hic habes Cleopatrae et Julii Caesaris, vulgo Caesarionem dictum. Cf. Dio. XLVII, 31,5. — 2. De anno disputant viri docti. Cf. Strack, *loc. cit.*, et Bouché-Leclercq, *Hist. des Lagides*, II, p. 257.

1209. Thebis, in vico dicto Karnak. — De Ricci, *Archiv für Pap.*, II, p. 430, n. 7. Contulimus. Plenius nuper descripsit de Ricci.

Ἀχιλλέας ..|.ιος τῶν ρ.....|.εων του.....|.ουειτοι [1] ....[Ὀ]|σ]ορουηρι [προφή?]|της Ἀμονρασ[ωνθὴρ] | θεοῦ μεγίστο[υ ἀνέ|θ]ηκεν ἔτους μ´ [Κ]αίσ[αρος] | Φαῶφι α´ [2].

1. Vel ουσιτοι. — 2. Anno p. C. n. 10, mense Septembri, die XXVIII.

1210. Thebis, in syringibus. — *C. I. Gr.*, 4774; cf. *addenda et corrigenda*, p. 1208.

Ἀντωνία | Ἀγριππεῖνα | ὑπατικὴ | ἱστόρησα [1].

1. « Ἱστορεῖν, examinare, invisere, verbum solemne in his titulis. » Franz.

1211. Thebis, in syringibus. — Deville, *Archives des Missions*, 1866 (II), p. 484, n. 233.

Ἀντώνιος | Θεόδωρος | ὁ διασημ[ότατος] | καθολικὸς [τῆς Αἰγύ|πτου [1] καὶ] Φοινίκης, | πολίτης ἐν τῇ | βασιλ[ευούσῃ] Ῥώμῃ, | χρόνῳ πολλῷ | διατρίψας καὶ || τὰ ἐκεῖ θαύματ[α] | εἶδον καὶ τὰ ἐνταῦθα.

1. Rationalis Aegypti, vir perfectissimus. Cf. Hirschfeld, *Verwaltungsbeamten* (ed. II), p. 358, not. 2. Titulus ad aetatem Diocletiani referendus est.

1212. Thebis, in syringibus. — *C. I. Gr.*, 4766; Lepsius, *Denkmäler*, XII, tab. 76, n. 51; Deville, *Archives des Missions*, II (1866), p. 478, n. 196.

Μνησθῇ | Ἀσκληπιάδης | ἰατρὸς λεγεῶ(νος) | β´ Τραι(ανῆς) Ἰσχυρᾶς || ἔτους ι´ Ἀντωνίνου Με|χὶρ α´ [1].

1. Anno p. C. n. 147, mense Januario die XXVII.

1213. Thebis, in syringibus. — *C. I. Gr.*, 4775; cf. *addenda et corrigenda*, p. 1208.

Αὐρήλιος Ἀντωνῖνος | ...

« Putabat Letronnius intelligi posse M. Aurelium Antoninum imperatorem qui cum Alexandriae degerit facile Thebas invisere potuerit : Dio, LXXI, 28. Capitol., *M. Anton. philos.*, 26 » Franz.

1214. Thebis, in syringibus. — *C. I. Gr.*, 4780; cf. *addenda et corrigenda*, p. 1208.

Λο ύκ ιος Αὐρήλιος | ....

Putabat Letronnius Lucium Verum imperatorem intelligi posse, qui in Oriente peregrinatus sit circiter annum 162.

1215. Thebis, in syringibus. — Deville, *Archives des Missions*, II (1866), p. 483, n. 232.

Κλαύδιος | Β........ | ὁ διασημότατος | καθολικὸς [1] ‖ ἐθαύμασα | μετὰ τῆς | γαμετῆς | μου ..... | ...... ‖ Κλαυδία[ς] | ..... | ἱστορήσα.

1. Cf. n. 1211.

1216. Thebis, in syringibus. — *C. I. Gr.*, 4768; cf. *addenda et corrigenda*, p. 1207.

Κλ. Κομμοδιανὸς | χειλίαρχος (λεγεῶνος) β' | [Τραιανῆς] Ἰ[σ]χυρ(ᾶ)ς πάσας | τὰς [σύριγγα]ς ἰδὼν ‖ ἐθαύμασα ἔτους ια'? [Μ. Α]ὐρηλίου | Κομμόδου τοῦ κυρίου | Ἀθὺρ ις' [1].

1. Anni non satis certi mense Novembri, die XII.

1217. Thebis, in syringibus. — *C. I. Gr.*, 4764.

Εὐτύχης ἱστορήσας | ἔτους ιθ' Τραιανοῦ Καίσαρος τοῦ κυρίου [1] ..... [2].

1. Titulus fuit incisus anno 115/116 p. C. n. — 2. Vestigia litterarum quae sequuntur non deprehenduntur.

1218. Thebis, in syringibus. — Deville, *Archives des Missions*, II (1866), p. 1079, n. 199; Lepsius, *Denkmäler*, XII, tab. 76, n. 52.

Ἰούλιος | Δημή|τριος χει|λίαρχος ‖ ἱστορήσας | ἐθαύμα|σα.

1. Cf. alterum titulum ab eodem incisum (*ibid.*, n. 198).

1219. Thebis, in syringibus. — *C. I. Gr.*, 4807; Dittenberger, *Orient. gr. insc. sel.*, 686.

Νεκτάριος Νεικομηδεὺς | ὁ λαμπρότατος καθολικὸς | Αἰγύπτου [1] ἰδὼν ἐθαύμασα.

1. Cf. supra n. 1211.

1220. Thebis, in syringibus. — Deville, *Archives des Missions*, II (1866), p. 484, n. 234.

Νεμεσιανὸς πολίτης τοῦ θείου ποιητοῦ | Ὁμήρου ἀπὸ καθολικῶν [1] [Αἰγύπ]του καὶ ἀπὸ | ἡγεμόνων..... [2] διαφόρους πράξεις | μαηοῦρος [3] καὶ καθολικὸς ὢν τ[ῆς] διοικήσεως ἱστορήσας ἐθαύμασα.

1. Cf. n. 1211. — 2. ΜΕΙΨΥΑ, traditur. — 3. Majorius = majoriarius. Cf. *C. I. L.*, VIII, 14691.

1221. Thebis, in syringibus. — *C. I. Gr.*, 4811.

Παπείριος Δομί[τιος Ἀπ]πιαν[ὸ]ς [1] στρα|τηγὸς [Ὀ]μβείτου [ε]ἱστόρησα καὶ | τὸ προσκύνημα [ἐ]ποί[η]|σ[α] τῆς συνβίου καὶ τῶν | τέκνων ἔτους ιε' Θὼθ ι|θ' [2].

1. Vel Ὀππιανός. — 2. Die XVI mensis Augusti.

1222. Thebis, in syringibus. — *C. I. Gr.*, 4765.

Πετρώ[ν]ις Ἀνδρομάχου | ἐθαύμασα ἔτους ς' Ἁδριανοῦ | Τῦβι δ' [1].

1. Anno p. C. n. 122, mense Decembri, die XXX.

1223. Thebis, in syringibus. — *C. I. Gr.*, 4763.

Ποτάμων ἱστόρησα σὺν Ποτάμων[ι] πατρὶ | ἔτους ς' [1] Τραιανοῦ Καίσαρος τοῦ κυρίου Μεσορὴ | κθ' [2] καὶ τὸ προσκύνημα πάντων τῶν | ἀδελφῶν καὶ τῆς κυρίας μετρὸς καὶ | τῆς ἀδελφῆς [ἔ]γραψα.

Cf. alterum titulum ab eodem viro incisum et omnino similem.

1. Numerus non certus videtur. Forsitan ε'. — 2. Anno 102 vel 103 post C. n. mense Augusto, die XXII.

1224. Thebis, in syringibus. — *C. I. Gr.*, 4815; Dittenberger, *Orient. gr. insc. sel.*, II, 689, note 2.

Σπουδᾶσις | Παλατῖνος | υἱὸς | [Τρ]ύφωνος ‖ [δι]κολόγου | Αἰγύπτου [1] ἐθεασάμην.

1. Δικολόγος idem valere ac δικαιολόγος volebat Franz quem probat Dittenberger.

1225. Thebis, in syringibus. — *C. I. Gr.*, 4816, cf. *addenda et corrigenda*, p. 1214.

Τατιανὸς ἡγεμὼν Θηβαίδος [1] ἱστόρ|ήσα[ς] ἐθαύμασεν [ἐντ|αῦ]θα [τὸ εὐσ]‖ύν[ετ ον [2] τῶν σοφῶν ‖ Αἰγυπ[τί]ων.

1. Praeses Thebaidis. Titulus non ante aetatem Diocletianam exaratus est. — 2. τὸ μνημόσυνον, τὸ μεγαλόσυνον, τὸ μεγαλότεχνον. Letronne.

1226. Thebis, in syringe Rhamsis III. — *C. I. Gr.*, 4815 c, p. 1213; Wescher, *Comptes rendus de l'Acad. des Insc.*, 1871, p. 291; Deville, *Archives des missions*, II (1866), p. 463, n. 37.

Τιμόθεος Ψερκιοκωμήτης [1] | ἐμνήσθη ἐπ' ἀγαθῷ Φιλοπάππου | τοῦ [....]ως [2] καὶ Μαξίμου | Στατιλίου ἰδιολόγου [3] τῶν ‖ λογιωτάτων καὶ φιλτάτων καὶ Ιουλίας Πα[σικλεί]ας (?) [4] τῆς Τίτου (?) [5] τοῦ ῥήτορος τῆς Ἀχαρίστου καθηγήτου.

1. « Κώμη Ψέρκις aliunde non innotuit, nisi forte Ψέρκις pro Ψέλκις dictum est. » Franz. — 2. βασιλέως, Letronne, Franz, Wescher. Philopappum Comagenum regem haberes cujus monumentum stat Athenis in colle Musarum. Sed de verbo ΒΑΣΙΛΕѠϹ dubitat Deville qui in pariete syringis vidit ΤΟΥ ΛΛ..ѠϹ. — 3. De Statilio Maximo cf. *Prosop. imp. rom.*, III, p. 260, n. 599. — 4. Παγκάλας, Franz; Πασικλείας, Wescher; ΠΑ....., Deville. — 5. ΠΙΟΥ Champollion, ΤΙΤΟΥ vidit Deville.

1227. Thebis, in syringe Memnonis. — *C. I. Gr.*, 4807 g. p. 1212; *C. I. L.*, III, 68.

M. Voturios | romanos. | M. [Οὐοτ]ύριος | ῥωμαῖος.

Alterum exemplum ejusdem tituli repertum est in syringe Rhamsis IX (*C. I. L.*, III, 69).

1228. Thebis, in syringibus. — *C. I. Gr.*, 4767; cf. *addenda et corrigenda*, p. 1207.

.... οἰκ]είων [1] ἁπάντων πα[ρὰ] τῷ κυρίῳ ...|..........[2]] ὄντι σοφῷ κα[ὶ] πρωσοφ[ελοῦντι] [3] | τοῖς ἀσκοῦσι παιδείαν [ἡμ]έρῳ [4] δὲ τοῖς | νοσηλεύουσι [5] αὐτὸς [6] ὁ ἱκετεύων τὸν θεὸν εἶνα[ι] εἵλ[εω]ν [7] καὶ εὐμεν[ῆ]? ἔγραψα Εὐτύχου ..... | μονος μετ' Ἀφθο[νί]ου [8] .....ονιος.... |ρου [9] καὶ μον [10] Κορῆτο[ς] [11] τ]ῶ[ν] ἀδελφῶν καὶ Πλήνιος Κεφαλᾶτ[ος μπτου [12] | ἔτους ς'? [Μ. Αὐρηλίου καὶ Λ. Οὐήρου] | κυρίων Σεβαστῶν [13] ἐπ' ἀγαθῷ.

1. Initio periit vel ὑπὲρ τῶν... vel τὸ προσκύνημα τῶν, Franz. — 2. [Ἑρμῆι], θεῷ τρισμεγίστῳ] Franz, [θεῷ|τῷ τρισμεγίστῳ] Letronne. Titulus enim incisus est infra anaglyphum dei Thoth, qui pro Herme trismegisto habetur. — 3. προσοφέλλοντι, Letronne; προσωφελοῦντι, Franz; πρωσοφελοῦντι ex errore ortum. — 4. ΙΗЄΡΩ traditur. — 5. i. e. medicis. — 6. ΛΥΙΟCΟ traditur. — 7. ЄΙΝΑЄΙΛΘCΝΚΑΙΕΥΜΕΝЄ traditur. — 8. ΜЄΤΑΦΘΟΜΟΙ traditur. — 9. Ἀπολλω]νίο[υ καὶ Ρού]φου, Franz; ἀδελ]φοῦ, de Ricci. — 10. sic traditur; Αἰλίου, Franz. — 11. Ita Letronne quem probat Franz. — 12. Κεφαλᾶ τοῦ [πέ]μπτου, Franz; Κεφαλᾶ τοῦ υἱοῦ, Letronne. — 13. Ita Franz. Erit annus p. C. n. 166/167.

1229. Thebis in vico Gournah. — *C. I. Gr.*, 4824.

Πετεμενῶφις ὁ καὶ Ἀμμώνιος Σωτῆρο[ς] | Κορνηλίου Πολλίου, μητρὸς Κ[λεοπάτρας Ἀμμωνίου, ἐτῶν εἴκοσι ἑνὸς | μηνῶν δ' καὶ ἡμερῶν εἴκοσι δύο, ἐτελ|εύ[τη]σε. ιθ' ἔτους Τραιανοῦ τοῦ κυρίου Παῦνι η' [1].

1. Anno p. C. n. 116, mense Junio, die III. Cf. infra n. 1232.

1230. Thebis in vico Gournah. — *C. I. Gr.*, 4825. Contulit de Ricci.

Ταφὴ Πετεμενώφιος υἱοῦ | Παβῶτος · ἐγεννήθη γ' ἔτους Ἀδριανοῦ | τοῦ κυρίου Χοίακ κδ' [1], ἐτελεύτα | ζ' ἔτους [2] ἐπαγομένων δ' ὥστε ἐβίωσεν | ἔτη δ' μῆνας η' ἡμέρας ι'. | Εὐψύχει.

1. Anno 118 die XX mensis Decembris. — 2. Anno 123, die XXVII Augusti mensis.

1231. Thebis in vico Gournah. — *C. I. Gr.*, 4827.

Σενχῶνσις ἡ καὶ Σαπαῦλις πρεσβυτέρα Πικῶτος γεννηθεῖσα τῷ δ' ἔτει Θεοῦ

Τραιανοῦ [1] Παχὼν ιζ' ἐτελεύτ[η]σεν τῷ θ' ἔτει Ἀντωνίνου Καίσαρος κυρίου Φαμενὼθ ιε' [2] ὥστε ἐβίωσεν ἔτη μδ' μῆνας δέκα. Θάρσει.

1. Die XII mensis Maii, anno 101 p. C. n. — 2. Anno 146, mensis Martii die 11.

1232. Thebis, in vico dicto Gournah. — *C. I. Gr.*, 4823.

Σενσαὼς Σωτῆρος Κορνηλίου [1], μητρὸς Κλεοπάτρας τῆς καὶ | Κανδάκης Ἀμμωνίου, παρθένος ἐτῶν ις' μηνῶν δύο ἡμερῶν | ἐννέα, ἐτελεύτησεν ιϐ' ἔτους Τραιανοῦ τοῦ κυρίου Ἐπεὶφ κα' [2].

1. Cf. supra n. 1229. — 2. Anno 109, mense Julio, die XV.

1233. Thebis, in vico Gournah. — *C. I. Gr.*, 4822; Dittenberger, *Orient gr. insc. sel.*, II, 698.

Σωτὴρ Κορνηλίου Πολλίου [1] μητρὸς Φιλοῦτος ἄρχων Θηϐῶν [2].

1. « Ejusdem familiae homines habes (nn. 1229 et 1232); quos non fratrem et sororem esse illius Soteris matris nomen indicat; sed liberos ejus esse statuit Franz, id quod certe perquam probabile est. » Dittenberger. Idem titulum tribuit circiter anno 100. — 2. Praefectus regius oppidi Thebarum, θηϐάρχης; cf. id., not. 4.

1234. Thebis, in vico Gournah. — *C. I. Gr.*, 4826.

Ταφὴ Τροῦτο[ς] Ἡρακλείου Σωτῆρος μητρὸς Σαρα[π]οῦτος · ἐγενήθη τῷ ε' ἔτει Ἀδριανοῦ | τοῦ κυρίου Ἀθὺρ β' [1] καὶ ἐτελεύτησεν τῷ ια' ἔτει μηνὶ Τῦϐι κ' [2] ἐτῶν ς' μηνῶν δύο | ἡμερῶ[ν] η' καὶ ἐτάφη τῷ ιβ' ἔτει μηνὶ Ἀθὺρ ιβ' [3].

1. Anno p. C. n. 120, die XXIX mensis Octobris. — 2. Anno 127, die mensis Januarii XVI. — 3. Die mensis Novembris VIII ejusdem anni.

1235. In valle Hamamât, prope lapicidinas veteres. — *C. I. Gr.*, add. 4716 d[1]; Lepsius, *Denkmäler*, XII, tab. 97, n. 478.

Τὸ προσκύνημα | Ποπλίου Ἰουεντίου | Ἀγαθόποδος [1] παρὰ | τῷ κυρίωι Πανί [2], καὶ ‖ τῶν αὐτοῦ πάντων | ἔτους μγ' Καίσαρος Φαμενὼθ | α' [3].

1. Cf. n. 1236. — 2. De Pane deo lapicidinarum, cf. n. 1152. — 3. Anno p. C. n. 14, mense Februario, die XXV.

1236. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[2]; Lepsius, *Denkmäler*, XII, tab. 100, n. 580-583; Dittenberger, *Orient. gr. insc. sel.*, 660.

Ἐπὶ Τεβερίου Καίσαρος Σεβαστοῦ [1], Ποπλίου | Ἰουεντίου Ῥούφου μεταλλάρχη Ζμαράκτου | καὶ Βασίου [2] καὶ Μαρκαρίτου [3] καὶ λατόμων πάν|των τῆς Αἰγύπτου · Ποπλίου Ἰουεντίου ‖ Ἀγαθόπους | ἀπελεύθερος | αὐτοῦ καὶ | προνοητὴς | πάντων [4] ἔτους ε' | Τιβερίου Καί|σαρος Σεβαστοῦ | Φαῶφι ε' [5]. | Τὸ προσκύ|νημα | Ἀρυώθης | Φατρήους | γραμμα[τεύς. | Μέρσις ἀρχιτ|έκτων. ‖ Τὸ προσκύ|νημα Μαμ|μόγαις Βα|ταίου στρα|τιώτηι ‖ σπίρης Νίγ|ρου, ἐπὶ τῷ | ἔργωι Ἰουεν|τίου. Μέρσις ἀρ|χιτέ|κτων.

1. Supple : τὸ προσκύνημα. — 2. Ita traditur; Βάσσου, Franz; [Κ]ασίου, Letronne, Dittenberger. — 3. Praefectus metallis montium Zmaragdi (a smaragdis), Basii vel Casii, Margariti (a margaritis) et omnium lapicidarum. — 4. Debuit esse ἀπελευθέρου et προνοητοῦ. Intellige : P. Juventii Agathopodis liberti ejus et procuratoris; cf. titulum n. 1235. — 5. Die II mensis Octobris, anno 18 p. C. n.

1237. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[3]; Lepsius, *Denkmäler*, XII, tab. 100, n. 576.

Τὸ προσκύνημα | Ιουλίου στρατιώτου | καὶ Διδυμᾶτος | παρὰ θεῷ Πανὶ ‖ ὅτι εὐείλατος [ἠ]μεῖν [1] | γέγονε | ἔτους ζ' Τιβερίου Καίσαρος | Φαρμοῦ[θ]ι ιη' [2].

1. ΥΜΕΙΝ traditur. — 2. Φαρμοῦτι traditur. Anno p. C. n. 20, die XIII mensis Aprilis.

1238. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[4]; Lepsius, *Denkmäler*, XII, tab. 100, n. 575.

Τὸ προσκύνημα | Ἀπολλώνιος Λονγίνου | ἔτους ιδ' Τιβερίου Καίσαρος Σεβαστοῦ Ἐ[πὶφ] κγ' [1].

1. Traditur ΕΦΙΠ. Anno p. C. n., 27 die XVII mensis Julii.

1239. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[5]; Lepsius, *Denkmäler*, XII, tab. 97, n. 502.

Τὸ προσκύνημα Ἱερωνύμου Σώρου | παρὰ θεῷ Πανὶ καὶ τοῖς συννάοις θεοῖς | ἔτους ις' Τιβερίου Καίσαρος Σεβαστοῦ Ἐπεὶφ α' [1].

1. Anno 29, mense Junio, die XXV.

1240. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d⁶.

Τὸ προσκύνημα Σι|έωμοις? Λογγίνου παρὰ | τῷ Πανὶ καὶ τοῖς συνν|άοις θεοῖς ἔτους ιζ′ Τιβερί|ου Καίσαρος Σεβαστοῦ | Παοῖνι ιζ′ [1].

1. Anno p. C. n. 30, mensis Junii die XI.

1241. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d⁷; Lepsius, *Denkmäler*, XII, tab. 97, n. 498.

Τὸ προσκύνημα | Μάρκου Λογγείνου | καὶ Γαίου Κορνηλίου | στρατιωτῶν || ἑκατονταρχίας Ἐρεν|νίου ἔτους ια′ Νέρονος [1].

1. Anno p. C. n. 64/65.

1242. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d⁸; cf. Lepsius, *Denkmäler*, tab. 100, n. 585 et tab. 97, n. 498.

Τὸ προσκύνημα | Καλάσιρις | Παχομχῆμις | L. Long(inus) || ἔτους α′ Τίτου Μεσουρή [1].

1. Anno p. C. n. 79, mense Augusto, probabiliter; nam Vespasianus mortuus est die XXIII mensis Julii.

1243. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d⁹; Lepsius, *Denkmäler*, XII, tab. 100, n. 568.

Τὸ προσκύνημα | Γάιος Βένιος | Κέλερ χώρτης | πρώτης Φλα|ουίας Κυλίκ|ων ἑκατονταρχίας Ἰουλί[ου] | ἐπὶ Δομ|ετιανοῦ Αὐτ|οκράτορος.

1244. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d¹⁰; Lepsius, *Denkmäler*, XII, tab. 97, n. 482.

Τὸ προσκύνη|μα Κρονίου Σαραπᾶτος | καὶ Μουμμίου Ἀπολλωνίου | καὶ Παχομπρῆτ Ψενχνοῦμις || καὶ Πετάλης καὶ Φμόις Ἱέραξ | παρὰ Πανὶ θεῷ μεγίστωι | ἔτους ι′ Δομιτιανοῦ τοῦ κυρίου | Παῦνι ι′ [1].

1. Anno p. C. n. 91, die IV mensis Junii.

1245. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[13]; Lepsius, *Denkmäler*, XII, tab. 97, n. 481.

Τὸ προσκύνημα Ἀπελλίωνος | στρατιώτου πρὸς | τὸν Πᾶνα κύριον.

1246. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[15]; Lepsius, *Denkmäler*, XII, tab. 97, n. 483-485.

Τὸ προσ|κύνημα | Γαίου Αὐρηλίου | Δήμου στρατιώτου ‖ σκληρουρ|γοῦ ὑδρευ|μάτων. | Τὸ προσ|κύνημα Ἰσιδώ‖ρου Δήμου. Τὸ προσκύ|νημα Δήμου. Τέκνα | αὐτοῦ οἱ δύο τοῦ προγεγρα(μμένου) | Δήμου στρατιώτου.

1247. In valle Hamamât. — *C. I. Gr.*, add. 4716 d[39].

Τὸ προσκύ|νημα | Πτολεμ|αίου στρ‖α[τ]ιώτ|ης | κεντ[υρ]ία|ς Φαβίου.

1248. In valle Foakhir. — *C. I. Gr.*, add. 4716 d[48].

Ε΄ ἔτους Γαίου [1] | κασμαζετρρισ | Παῆς Ἀρπαῆκις | Ἀρπῆκις Παῆς ‖ Ἀρπῆ-κης Παῆς | Παῆς Ευεκ[...

1. Anno p. C. n. 40 aut 41.

1249. In valle Foakhir. — *C. I. Gr.*, add. 4716 d[47].

Τὸ προσκ[ύνημα] | Γαβινίου [Θ]αίμου [1] | στρατιώτ[ο]υ καὶ τῶ|ν αὐτοῦ π[άν]-των ‖ σπε[ί]ρης Φακού[ν]δου [κεν]τυρ[ί]ας Κα π ι τωνος.

1. Traditur ΕΑΙΜΟΥ. [Κ]α[τί]λου pro Κατλίου, Franz. Nomen Θαῖμος in Syria et Arabia non semel inventus est. Cf. hujus operis volumen tertium in indicibus, p. 554.

1250. In valle Foakhir. — *C. I. Gr.*, add. 4716 d[44].

Λούκειος | Καικείλιος | Σωκρά|της σπί‖ρης Μά|ρκου Φρώ|ρου [1] κεν|τυρεία|ς Μομ‖μίου.

1. Ita traditur pro Φλώρου.

1251. In valle Foakhir. — *C. I. Gr.*, add. 4716 d[56].

Τὸ προσκύνημα Κλημεντείνου | δεκανοῦ [1].

1. Decurio alarius.

1252. In valle Foakhir. — *C. I. Gr.*, add. 4716 d[57].

Τὸ προσκύνημα Λονγίνου ἱππέος | καὶ τοῦ ἱππιάτρου [1].

1. Veterinarius.

1253. In valle Foakhir. — *C. I. Gr.*, add. 4716 d[58].

Τὸ προσκύνημα Μάρκου | Μονίμου εἱππέος.

1254. In monte Claudiano. — *C. I. Gr.*, 4713 e; Milne, *Musée du Caire, gr. inscr.*, p. 34, n. 9277. Ectypum habuimus.

Διὶ Ἡλίῳ μεγάλῳ | Σαράπιδι | ὑπὲρ τῆς τοῦ κυρίου | Καίσαρος Τραιανοῦ ‖ τύχης ἐπὶ Ἐνκολπίῳ | ἐπιτρόπῳ [1] καὶ Κουίντῳ | Ἀκκίῳ Ὀπτάτῳ ἑκατοντάρχῳ [2], Ἀπολλώ|νιος Ἀμμωνίου Ἀλεξ|ανδρεὺς ἀρχιτέκτων ‖ ἀνέθηκεν ὑπὲρ τῆς σωτη|ρίας αὐτοῦ πάντων ἔργων.

Titulum Alexandreae inventum esse asserit Neroutsos, non recte, ut videtur; cf. Milne, *loc. cit.*

1. Procurator metallorum; cf. titulum sequentem. — 2. Centurio praepositus operi; cf. eumdem titulum.

1255. In monte Claudiano. — *C. I. Gr.*, 4713 f; Dittenberger, *Orient. gr. insc. sel.*, II, 678.

Ὑπὲρ σωτηρίας καὶ αἰωνίου νίκης Αὐτοκράτορος Καίσαρος Τραιανοῦ Ἀδριανοῦ Σεβαστοῦ καὶ τοῦ σύνπαντος αὐτοῦ οἴκου | καὶ τῆς τῶν ὑπὸ αὐτοῦ ἐπιταγέντων ἔργων ἐπιτυχίας | Διὶ Ἡλίωι μεγάλωι Σαράπιδι καὶ τοῖς συννάοις θεοῖς τὸν ναὸν καὶ τὰ περὶ τὸν ναὸν πάντα | Ἐπαφρόδειτος δοῦλος Σειγηριανὸς [1] μισθωτὴς τῶν μετάλλων κατασκεύασεν [2] ‖ ἐπὶ Ῥαμμίωι Μαρτιάλι ἐπάρχωι Αἰγύπτου [3], ἐπι-

τρόπου τῶν μετάλλων Χρησίμου Σεβαστοῦ ἀπελευθέρου, | ὄντος πρὸς τοῖς τοῦ Κλαυδιανοῦ ἔργοις Ἀουίτου ἑκατοντάρχου [4] σπείρης πρώτης Φλαουίας Κιλίκων ἱππικῆς [5]. ἔτους β' Αὐτοκράτορος Καίσαρος Τραιανοῦ Ἁδριανοῦ, Φαρμοῦθι κη' [6].

1. Cf. n. 1256, in quo idem servus audit : Ἐπαφρόδιτος Καίσαρος Σιγηριανός. Non sumere debes eumdem fuisse ac celeberrimum illum Epaphroditum a Domitiano occisum. De cognomine Σιγηριανῷ a Σιγηρῷ, latine *Tacito*, repetitum, cf. Letronne, Recueil I, p. 153, sqq. Quem Sigerum, priorem Epaphroditi dominum, habet vir ille doctus pro Domitiani percussore. — 2. Ita lapis. — 3. Cf. Cantarelli, *Prefetti di Egitto*, p. 45. — 4. Centurionem operi marmorum Montis Claudiani praepositum esse notum est (*C. I. L.*, III, 25). — 5. De cohorte I Flavia Cilicum cf. Pauly-Wissowa, *Realencyclopädie*, IV, p. 269. — 6. Anno p. C. n. 118, mensis Aprilis die XXIII.

1256. In monte Claudiano. — *C. I. Gr.*, 4713.

Ὑπὲρ σωτηρίας καὶ αἰωνίου νίκης τοῦ κυρίου ἡμῶν Αὐτοκράτορος Καίσαρος Τραιανοῦ Ἁδριανοῦ | Σεβαστοῦ καὶ τοῦ παντὸς οἴκου Διὶ Ἡλίῳ μεγάλωι Σαράπιδι καὶ τοῖς συννάοις θεοῖς τὸν ναὸν καὶ τὰ περὶ τὸν ναὸν | Ἐπαφρόδιτος Καίσαρος Σειγηριανὸς, ἐπὶ Ῥαμμίῳ Μαρτιάλι ἐπάρχωι Αἰγύπτου, Μάρκου Οὐλπίου Χρησίμου ἐπιτροπεύον|τος τῶν μετάλλων, ἐπὶ ἑκατοντάρχου Προκυληιανοῦ...

Cf. titulum supparem n. 1255.

1257. In monte Claudiano. — De Ricci, *Archiv für Pap.*, II, p. 441, n. 52.

Ὑπὲρ σωτηρ[ίας καὶ νίκης] | Αὐτοκράτορ[ος Καίσαρος] | Τραιανοῦ Ἁ[δ]ριανοῦ.....

1258. In monte Claudiano. — *C. I. Gr.*, 4713 b.

...εο... ανωκααιοιωβτις [1] | Εἴσιδι μυριω|νύμῳ Φάν|ιος Σευῆρο||ς ἑκατοντάρχος ἀνέθηκεν | ἔτους κβ' Ἁδρειανοῦ τοῦ κυρίου Σ[ε]βαστο]ῦ [2].

1. « Videndum ne subsit Τραι]ανῷ[ι Δ]α[κικ]ῷ[ι] » Franz. — 2. Anno 137/138 p. C. n.

1259. In monte Claudiano. — *C. I. Gr.*, 4713 c; *C. I. L.*, III, 24.

In latere sinistro :

A. Fons felicissimus | Traianus Dacius [1].

In antica :

B. An. XII [2] Imp. Nerua Traiano | Caesare Aug. Germanico | Dacico | per Sulpicium Simi[le][3]m || praef. Aeg.

In latere dextro :

C. Ὕδρευμα εὐτυχέστατον | Τραιανὸν Δακικόν.

In plinthis :

D. Ἄμμωνις Κησωνίου Μαλλίτης.

1. Nomen stationis ad montem Claudianum sitae. — 2. Anno p. C. n. 108/109. — 3. Cf. supra n. 1148, not. 4.

1260. In monte Claudiano. — *C. I. Gr.*, 4713 *d.*

Ἐπὶ Οὐαλουεννίωι [1] | Πρείσκωι ἑκατοντάρχω λεγε(ῶνος) κβ' [2] | διὰ Ἡρακλείδου ἀρχιτέκ τονος...

1. Gentilicium Valvennius notum est (*C. I. L.*, IX, 896, 2420). — 2. Legio XXII Dejotariana quae tendebat in Aegypto.

1261. Lagita (inter Qosseir et Qeneh). — Euting, *Sitzungsber. der Berl. Akad.*, 1887, p. 419.

....Τιβερίου Κλαυδί[ου] | Αὐτοκράτορος Πανὶ τ[ῷ θεῷ.... μεος προστάτης.

1262. Girgeh, in oppido Oasis magnae. — *C. I. Gr.*, 4956; Dittenberger, *Orient. gr. insc. sel.*, II, 665.

I. Ποσιδώνιος στρατηγός [1] · | τῆς πεμφθείσης μοι ὑπὸ τοῦ κυρίου ἡγεμόνος | ἐπιστολῆς σὺν τῶι ὑποτεταγμένωι προστάγ|ματι τὰ ἀντίγραφα ὑμεῖν ὑποτέταχα, ἵν' εἰδό|[τες] αὐτὰ καὶ [εὐπ]ειθῆτε καὶ μηδὲν ὑπεναντίον τοῖς προσ|[τεταγμένο]ις

ποιῆ[τε] · ἐπὶ ἔτο[υς] ἐνάτου Τιβερίου Κλαυδίου Καίσαρος | [Σεβαστοῦ Γερμανι]κοῦ Αὐτοκράτορος Μεχεὶρ ζ′ [2].

II. Γν[(αῖος) Οὐεργίλιος Κ]απίτων [3] Ποσειδωνίωι, στρατηγῶι Ὀάσε[ως | Θηβαίδος, χαίρειν · ὃ ἐπὶ] τῆς πόλεως [4] [προ]έθηκα διάταγμα, ‖ [τούτου ἀντίγραφον] ἔπεμψά σ[οι]. Βούλομαι οὖν [σ]ε ἐν | [τάχει ἔν] τε τῆι μητροπόλει τοῦ νομοῦ καὶ καθ' ἕ[κ|αστον τόπο]ν [5] αὐτὸ προθεῖναι σαφέσι καὶ εὐσήμοις | γράμμασιν, ἵνα [παν]τὶ [ἔκ]δηλα γένηται τὰ ὑπ' ἐμοῦ σταθέντα.

III. Γναῖος Οὐ[εργί]λιος Καπίτων λέγει · ‖ καὶ πάλαι μὲν ἤκουόν τινας δαπάνας ἀδίκους καὶ παραλογισ[θεί|σ]ας ὑπὸ τῶν πλεονεκτικῶς καὶ ἀναιδῶς ταῖς ἐξουσίαις ἀπο|χρωμένων γείνεσθαι, καὶ νῦν δὲ ἐν τῇ τῶν Λιβύων μάλιστα | ἔγνων ὑποθέσει [6], ὅτι ἀναλίσκεταί τινα ἁρπαζόντων ἀδε|ῶς τῶν ἐπὶ ταῖς χρείαις [7] ὡς ὑποκείμενα εἰς δαπάνας ‖ καὶ ξένια ἑ αυτῶν τὰ μήτε ὄντα μήτε ὀφείλοντα εἶναι, | ὁμοίως δὲ καὶ ἀνγαρειῶν [9] ὀνόματι. Διὸ κελεύω<ι> τοὺς | διοδεύοντας διὰ τῶν νομῶν στρατιώτας καὶ ἱππεῖς καὶ | στάτορας [10] καὶ ἑκατοντάρχας καὶ χειλιάρχους καὶ τοὺς (λο)ι|ποὺς ἅπαντας μηδὲν λαμβάνειν μηδὲ ἀνγαρεύειν εἰ μή ‖ τινες ἐμὰ διπλώματα [11] ἔχουσιν · καὶ τούτους δὲ στέγηι μόνον δέ|χεσθαι τοὺς διερχομένους, ὑποκείμενόν τε μηδένα μηδὲν πράτ|τειν ἔξω τῶν ὑπὸ Μαξίμου [12] σταθέντων · ἐὰν δέ τις δῶι ἢ ὡς δε|δομένον λογίσηται καὶ εἰσπράξηι δημοσίᾳ, τοῦτον τὸ δεκαπλοῦν | ἐγὼ<ι> ἐκπράξω<ι> οὗ αὐτὸς ἔπραξεν τὸν νομὸν, καὶ τῶι μηνύσαντι ‖ τὸ τετραπλάσιον μέρος δώσω<ι> ἐκ τῆς τοῦ κατακριθέντος οὐσίας. | Ο[ἱ μὲν οὖν β]ασιλικοὶ γραμματεῖς καὶ κωμογραμματεῖς καὶ τοπογραμ|[ματ]εῖς κατὰ νομὸν πάντα ὅσα δαπανᾶται ἐκ τοῦ νομοῦ. εἴ τινα | πέπρακται παραλόγως ἢ ἄλλο τι ἀναγραφ[έσ]θωσαν καὶ ἐ[ν ἡμέραις | ἑξήκοντα ἐπιδότωσαν, οἱ δ' ἐ[ν]τὸς Θηβαίδος διὰ τετραμήνου, [εἰς τὰ] ‖ λογιστήρια καὶ πρὸς Βασιλείδην τὸν Καίσαρος ἀπελεύθερον τὰ ἐξ ἑκάσ|του λογιστηρίου, καὶ τοὺς ἐκλογιστὰς πεμπέτωσαν, ἵν' ἐάν τι παρὰ τὸ δί|καιον λελογευμένον ἢ πεπραγμένον ᾖ, τοῦτο διορθώσομαι · ὁμοίως | δ[ὲ] βούλομαι δηλοῦσθαι................ | σ[εῖ]τος ἢ ἀργύριον δι..................‖μησιν σκεπαστικοῦ............ | πρῶτον ἀκούσας ε............ | παρὰ τὴν τοῦ κυρίου........ | ἐτόλμησαν τῆς σκέ[ψεως..............]|πῆς τι λαμβανε............ πολ]‖λάκις παρά τε..............|σαντος γνώ[μην.............. ἀ]|πογραφὴν....... | στρατηγῶι γ[....... ἑ]|ξήκοντα εἰς..............‖ρου πρὸς τ[..... ἀναγραφέ]|σθωσαν [..... πέμ]|πειν πᾶσι............ | καὶ τὰ ἄ[λλα..........] | καὶ τοῖς στρα[τηγοῖς....... ἀνε ‖πηρεάστω]ς............] | ἤδη προλέγω..............] των, εἰ καὶ.......|ιν οἱ

τότε ἀκούσαν[τες.......... ἀναγρα]|φέσθωσαν τὰ [......... ἐδ]|εσμάτων....... | πολιτῶν ι...........|σύν μοι μετα[.......... γράμμα]|τα ἔγραψα πρὸς τοὺς ε[..... ἐν τῇ μ]|ητροπόλει τοῦ ὅλου νομοῦ ἤ ....‖ αια..εδκετης, ἵν' ἐξῇι τῶι βουλομέν[ωι .... ἐλέγχειν .... | τ]οὺς ψευσαμένους · κελεύω δὲ ....|..... τὰς τῶν νομῶι τῶν [.............|... ἐδ]ήλωσαν. Ἀναγκ[αίω]ς [οὖν] κε[λεύω ....|...μφ (προ)σπέμπειν μο(ι) τι καὶ .... ‖ ἐστασίασαν καὶ τῆς ...[δι]|δόναι εἰς διαλογισμὸν ....|... αὐτῶν εἶναι φανερὸν......... | ἐν τῶι λογιστηρίωι...... | τὰ ἐν ἰδίωι λόγωι .... ‖ ἔθους προστε[ταγμέν...............] | Καί(σ)αρ(ος) Σε(6)[αστοῦ | Χ](ο)[ί]α(κ) (ι)α' [12].

Diversas lectiones et quae corrigenda proposuerunt ii qui titulum ediderunt consulto omisimus. Cf. Dittenberger, *loc. cit.*, quem sequimur.

1. Sc. Oasis Thebaïdos. — Anno p. C. n. 49, kalendis Februariis. — 3. De eo viro cf. *Prosop. imp. rom.*, III, p. 401, n. 276 et Cantarelli, *Prefetti di Egitto*, p. 28. — 4. Praefectus ipse Alexandriae publici juris fecit edictum; deinde idem ad strategos nomorum transmisit ut in suo quisque nomo proponendum curaret. Dittenberger. — 5. Locus, nomi pars, quae ipsa in vicos divisa erat. — 6. Petitio, qua queruntur aut accusant incolae. — 7. Qui negotia publica gerunt. — 8. Intellige ea quae magistratibus iter facientibus ab incolis praestari debent. Cf. Wilcken, *Griech. Ostr.*, I, p. 389. — 9. Angariae, onus jumenta praebendi ad cursum publicum; cf. praesertim Rostowtsew, *Klio*, 1906, p. 249 et suiv. — 10. Statores qui in stationibus excubant ad securitatem viarum aut vectigalia deputati. Cf. von Domaszewski, *Rom. Mittheil.*, 1902, p. 330 et seq., et Wilcken, *Griech. Ostr.*, I, p. 294. — 11. Diplomata, litterae quas qui acceperat instrumenta itineris et adjumenta ab incolis exigere ei licebat. Cf. G. Humbert, apud Saglio, *Dict. des Antiquités*, I, p. 1652 et seq. et Hirschfeld, *Verwaltungsbeamt.* ed. II, p. 198. — 12. M. Magius Maximus, praefectus Aegypti imperante Augusto (Cantarelli, *Prefetti di Egitto*, p. 21). — 12. Die VII mensis Decembris, anno p. C. n. 48. Dies et annus non satis certe traduntur.

1263. In oppido Girgeh. — *C. I. Gr.*, add., 4957; Dittenberger, *Orient. gr. insc. sel.*, 669.

I. Ἰούλιος Δημήτριος, στρατηγὸς Ὀάσεως Θηβαΐδος · τοῦ πεμφθέντος μοι διατάγματος ὑπὸ τοῦ κυρίου ἡγεμόνος | Τιβερίου Ἰουλίου Ἀλεξάνδρου [1] τὸ ἀντίγραφον ὑμεῖν ὑπέταξα, ἵν' εἰδότες ἀπολαύητε τῶν εὐεργεσιῶν. Ἔτους β' Λουκίου Λιβίου Σεβαστοῦ Σουλπικίου | Γάλβα αὐτοκράτορος Φαῶφι α' Ἰουλίᾳ Σεβαστῇ [2].

II. Τιβέριος Ἰούλιος Ἀλέξανδρος λέγει · πᾶσαν πρόνοιαν ποιούμενος τοῦ διαμένειν τῷ προσήκοντι κα|ταστήματι τὴν πόλιν [3] ἀπολαύουσαν τῶν εὐεργεσιῶν ας

ἔχει παρὰ τῶν Σεβαστῶν καὶ τοῦ τὴν Αἴγυπτον ἐν εὐσταθείᾳ διάγουσαν εὐθύμως ὑπηρετεῖν τῆι τε εὐθηνίᾳ καὶ τῆι μεγίσ|τηι τῶν νῦν καιρῶν εὐδαιμονίᾳ μὴ<ι> βαρυνομένην καιναῖς καὶ ἀδίκοις εἰσπράξεσι · σχεδὸν δὲ ἐξ οὗ τῆς πόλεως ἐπέβην καταβοώμενος ὑπὸ τῶν ἐντυγχανόντων καὶ κατ᾽ ὀλίγους καὶ κα|τὰ πλήθη<ι> τῶν τε ἐνθάδε εὐσχημονεστάτων καὶ τῶν γεωργούντων τὴν χώραν μεμφομένων τὰς ἔγγιστα γενομένας ἐπηρείας, οὐ διέλιπον μὲν κατὰ τὴν ἐμαυτοῦ δύναμιν τὰ ἐπείγοντα | ἐπανορθούμενος · ἵνα δὲ εὐθυμότεροι πάντα ἐλπίζητε παρὰ τοῦ ἐπιλάμψαντος ἡμεῖν ἐπὶ σωτηρίᾳ τοῦ παντὸς ἀνθρώπων γένους εὐεργέτου Σεβαστου Αὐτοκράτορος Γάλβα τά τε πρὸς σωτηρίαν | καὶ τὰ πρὸς ἀπόλαυσιν, καὶ γινώσκητε ὅτι ἐφρόντισα τῶν πρὸς τὴν ὑμετέραν βοήθειαν ἀνηκόντων, προέγραψα ἀναγκαίως περὶ ἑκάστου τῶν ἐπιζητουμένων, ὅσα ἔξεστί μοι κρείνειν καὶ ποιεῖν, τὰ δὲ μείζονα καὶ δεόμενα [4] τῆς τοῦ αὐτοκράτορος δυνάμεως καὶ μεγαλειότητος αὐτῶι δηλώσω<ι> μετὰ πάσης ἀληθείας, τῶν θεῶν ταμιευσαμένων εἰς τοῦτον τὸν ‖ ἱερώτατον καιρὸν τὴν τῆς οἰκουμένης ἀσφάλειαν · — ἔγνων γὰρ πρὸ παντὸς εὐλογωτάτην οὖσαν τὴν ἔντευξιν ὑμῶν ὑπὲρ τοῦ μὴ<ι> ἄκοντας ἀνθρώπους εἰς τελωνείας ἢ<ι> ἄλ|λας μισθώσεις οὐσιακὰς [5] παρὰ τὸ κοινὸν [ἔ]θος τῶν ἐπαρχειῶν πρὸς βίαν ἄγεσθαι [6], καὶ ὅτι οὐκ ὀλ[ί]γω[ι] ἔβλαψε τὰ πράγματα τὸ πολλοὺς ἀπείρους ὄντας τῆς τοιαύ|της πραγματείας ἀχθῆναι μετ᾽ ἀνάγκης ἐπιβληθέντων αὐτοῖς τῶν τελῶν. Διόπερ καὶ αὐτὸς οὔτε ἤγαγόν τινα εἰς τελωνείαν ἢ<ι> μίσθωσιν οὔτε ἄξω<ι> [7], εἰδὼς τοῦτο | συμφέρειν καὶ ταῖς κυριακαῖς ψήφοις [8] τὸ μετὰ προθυμίας ἑκόντας πραγματεύεσθαι τοὺς δυνατούς. Πέπεισμαι δὲ ὅτι οὐδ᾽ εἰς τὸ μέλλον ἄκοντάς τις ἄξει τελώνας | ἢ<ι> μισθωτάς, ἀλλὰ διαμισθώσει τοῖς βουλομένοις ἑκουσίως προσέρχεσθαι [9] μᾶλλον τὴν τῶν προτέρων ἐπάρχων αἰώνιον συνήθειαν φυλάσσων ἢ<ι> τὴν πρόσκαιρόν τινος ἀδικίαν ‖ μειμησάμενος. Ἐπειδὴ<ι> ἔνιοι προφάσει τῶν δημοσίων καὶ ἀλλότρια δάνεια παραχωρούμενοι [10] εἴς τε τὸ πρακτόρειόν [11] τινας παρέδοσαν καὶ εἰς ἄλλας φυλακάς, ἃς καὶ δι᾽ αὐτὸ τοῦτο | ἔγνων ἀναιρεθείσας [12], ἵνα αἱ πράξεις τῶν δανείων ἐκ τῶν ὑπαρχόντων ὦσι καὶ μὴ<ι> ἐκ τῶν σωμάτων, ἑπόμενος τῆι τοῦ Θεοῦ Σεβαστου [13] βουλήσει, κελεύω<ι> μηδένα τῆι τῶν δημοσίων προφά|σει παραχωρεῖσθαι παρ᾽ ἄλλων δάνεια ἃ μὴ<ι> αὐτὸς ἐξ ἀρχῆς ἐδάνεισεν μη<ι>δ᾽ ὅλως κατακλείεσθαί τινας ἐλευθέρους εἰς φυλακὴν ἡντινοῦν, εἰ μὴ<ι> κακοῦργον, μηδ᾽ εἰς τὸ πρακ|τόρειον, ἔξω<ι> τῶν ὀφειλόντων εἰς τὸν κυριακὸν λόγον [14]. Ἵνα δὲ μη<ι>δαμόθεν βαρύνηι τὰς πρὸς ἀλλήλους συναλλαγὰς τὸ τῶν δημοσίων ὄνομα μηδὲ συν[έχ]ω[σ]ι [15] τὴν κοινὴν πίστιν | οἱ τῆι πρωτοπραξίᾳ [16]

πρὸς ἃ μὴ <δ>εῖ καταχρώμενοι. καὶ περὶ ταύτης ἀναγκαίως προέγραψα· ἐδηλώθη <δὲ> γάρ μοι πολλάκις ὅτι ἤδη <καὶ> τινὲς καὶ ὑποθήκας ἐπείρασαν ἀφελέσθαι νομίμως | γεγονυίας καὶ ἀποδεδομένα δάνεια παρὰ τῶν ἀπολαβόντων ἀναπράσσειν πρὸς βίαν καὶ ἀγορασμοὺς ἀναδάστους ποιεῖν ἀποσπῶντες τὰ κτήματα τῶν ὠνησαμένων ὡς | συμβεβληκότων τισὶν ἀναβολικὰ εἰληφόσι ἐκ τοῦ φίσκου ἢ <τοῖς> στρατηγοῖς ἢ <τοῖς> πραγματικοῖς ἢ <τοῖς> ἄλλοις τῶν προσοφειληκότων τῷ δημοσίῳ λόγῳ. Κελεύω <οὖν>, ὅστις | ἂν ἐνθάδε ἐπίτροπος τοῦ κυρίου ἢ <ὁ> οἰκονόμος ὕποπτόν τινα ἔχῃ τῶν ἐν τοῖς δημοσίοις πράγμασιν ὄντων, κατέχεσθαι αὐτοῦ τὸ ὄνομα ἢ <καὶ> προγράφειν, ἵνα μηδεὶς τῷ τοιούτῳ συνβάλλῃ, | ἢ <τὰ> μέρη <τὰ> τῶν ὑπαρχόντων αὐτοῦ κατέχειν ἐν τοῖς δημοσίοις γραμματοφυλακίοις πρὸς ὀφείλημα. Ἐὰν δέ τις μήτε ὀνόματος κατεσχημένου μήτε τῶν ὑπαρχόντων κρατου|μένων δανείσῃ νομίμως λαβὼν ὑποθήκην ἢ <καὶ> φθάσῃ ἃ ἐδάνεισεν κομίσασθαι ἢ <καὶ> καὶ ὠνήσηταί τι, μὴ <τοῦ> κατεσχημένου τοῦ ὀνόματος μηδὲ τοῦ ὑπάρχοντος, οὐδὲν πρᾶγμα ἕξει. | Τὰς μὲν γὰρ προῖκας ἀλλοτρίας οὔσας καὶ οὐ τῶν εἰληφότων ἀνδρῶν καὶ ὁ Θεὸς Σεβαστὸς ἐκέλευσεν καὶ οἱ ἔπαρχοι ἐκ τοῦ φίσκου ταῖς γυναιξὶ ἀποδίδοσθαι, ὧν βεβαίαν δεῖ | τὴν πρωτοπραξίαν φυλάσσειν. Ἐνετεύχθην δὲ καὶ περὶ τῶν ἀτελειῶν καὶ κουφοτελειῶν, ἐν αἷς ἐστιν καὶ τὰ προσοδικά, ἀξιούντων αὐτὰς φυλαχθῆναι, ὡς ὁ Θεὸς Κλαύδιος | ἔγραψεν Ποστόμωι ἀπολύων, καὶ λεγόντων ὕστερον κατακεκρίσθαι τὰ ὑπὸ ἰδιωτῶν πραχθέντα ἐν τῶι μέσωι χρόνωι μετὰ τὸ Φλάκκον κατακρεῖναι καὶ πρὸ τοῦ τὸν Θεὸν | Κλαύδιον ἀπολῦσαι. Ἐπεὶ οὖν καὶ Βάλβιλλος καὶ Οὐηστεῖνος ταῦτα ἀπέλυσαν ἀμφοτέρων τῶν ἐπάρχων ἐπικρίματα φυλάσσω <καὶ> καὶ ἐκείνων κατηκολουθηκότων τῆι | τοῦ Θεοῦ Κλαυδίου χάριτι, ὥστε ἀπολελύσθαι τὰ μηδέπω <τὰ> ἐξ αὐτῶν εἰσπραχθέντα, δηλονότι εἰς τὸ λοιπὸν τηρουμένης αὐτοῖς τῆς ἀτελείας καὶ κουφοτελείας. Ὑπὲρ δὲ | τῶν ἐκ τοῦ Καίσαρος λόγου πρα[χ]θέντων ἐν τῶι μέσωι χρόνωι, περὶ ὧν ἐκφόρια κατεκρίθη <τὰ>, ὡς Οὐηστεῖνος ἐκέλευσεν τὰ καθήκοντα τελεῖσθαι, καὶ αὐτὸς ἵστημι, ἀπολελυκὼς τὰ μηδέπω <τὰ> εἰσπραχθέντα καὶ πρὸς τὸ μέλλον μένειν αὐτὰ ἐπὶ τοῖς καθήκουσι· ἄδικον γάρ ἐστιν τοὺς ὠνησαμένους κτήματα καὶ τιμὰς αὐτῶν ἀποδόντας ὡς δημοσίους γεωργοὺς ἐκφόρια ἀπαιτεῖσθαι τῶν ἰδίων ἐδαφῶν. Ἀκόλουθον δέ ἐστιν ταῖς τῶν Σεβαστῶν | χάρισι καὶ τὸ τοὺς ἐνγενεῖς Ἀλεξανδρεῖς καὶ ἐν τῇ χώρᾳ διὰ φιλεργίαν κατοικοῦντας εἰς μηδεμίαν λειτουργίαν ἄγεσθαι, ὃ ὑμεῖς | πολλάκις μὲν ἐπεζητήσατε, καὐτὸς δὲ φυλάσσω, ὥστε μηδένα τῶν ἐνγενῶν Ἀλεξανδρέων εἰς λειτουργίας χωρικὰς ἄγεσθαι. Μελήσει δέ | μοι καὶ τὰς στρατηγίας μετὰ διαλογισμὸν

πρὸς τριετίαν ἐνχειρίζειν τοῖς κατασταθησομένοις. Καθόλου δὲ κελεύω [illegible], ὁσάκις ἔπαρχος ἐπ' αὐτὸν ἀχθέντα ἔφθασεν κρείνας ἀπολῦσαι, μηκέτι εἰς διαλογισμὸν ἄγεσθαι [36]. Ἐὰν δὲ καὶ δύο ἔπαρχοι τὸ αὐτὸ πεφρονηκότες ὦσι, καὶ κολαστέος ἐστὶν ὁ ἐγλογιστὴς [37] ὁ τὰ αὐτὰ εἰς διαλογισμὸν | ἄγων, ἦι [38] μηδὲν ἄλλο ποιῶν πλὴν ἀργυρισμοῦ πρόφασιν καταλείπων ἑαυτῶι καὶ τοῖς ἄλλοις πραγματικοῖς· πολλοὶ οὖν ἠξίωσαν ἐκστῆναι μᾶλλον τῶν ἰδίων κτημάτων ὡς | πλεῖον τῆς τιμῆς αὐτῶν ἀνηλωκότες διὰ τὸ καθ' ἕκαστον διαλογισμὸν τὰ αὐτὰ πράγματα εἰς κρίσιν ἄγεσθαι. Τὸ δ' αὐτὸ καὶ περὶ τῶν ἐν ἰδίωι λόγωι [39] πραγμάτων ἀγομένων ἵστημι, ὥσ|τε εἴ τι κριθὲν ἀπελύθη<ι> ἢ<ι> ἀπολυθήσεται ὑπὸ τοῦ πρὸς τῶι ἰδίωι λόγωι τεταγμένου [40], μηκέτι ἐξεῖναι τούτωι εἰσαγγέλλειν κατηγόρωι μηδὲ εἰς κρίσιν ἄγεσθαι, ἢ<ι> ὁ τοῦτο ποιήσας ἀπαραιτή|τως ζημιωθήσεται. Οὐδὲν γὰρ ἔσται πέρας τῶν συκοφαντημάτων, ἐὰν τὰ ἀπολελυμένα ἄγηται ἕως τις αὐτὰ κατακρείνηι. Ἤδη<ι> δὲ τῆς πόλεως σχεδὸν ἀοικήτου γενομένης διὰ τὸ | πλῆθος τῶν συκοφαντῶν καὶ πάσης οἰκίας συνταρασσομένης [41] ἀναγκαίως κελεύω<ι>, ἐὰν μέν τις τῶν ἐν ἰδίωι λόγωι κατηγόρων ὡς ἑτέρωι συνηγορῶν εἰσάγηι ὑπόθεσιν [42], παρίστασθαι ὑπ' | αὐτοῦ τὸν προσαγγείλαντα, ἵνα μηδὲ ἐκεῖνος ἀκίνδυνος ἦι. Ἐὰν δὲ ἰδίωι ὀνόματι [43] κατενεγκὼν τρεῖς ὑποθέσεις μὴ<ι> ἀποδείξηι, μηκέτι ἐξεῖναι αὐτῶι κατηγορεῖν, ἀλλὰ τὸ ἥμισυ αὐτοῦ | τῆς οὐσίας ἀναλαμβάνεσθαι. Ἀδικώτατον γάρ ἐστιν πολλοῖς ἐπάγοντα κινδύνους ὑπὲρ οὐσιῶν καὶ τῆς ἐπιτιμίας αὐτὸν διὰ παντὸς ἀνεύθυνον εἶναι· καὶ καθόλου δὲ ἐ[π]ι|κελεύσομαι [44] τὸν γνώμονα τοῦ ἰδίου λόγου [ἀεὶ] [45] τὰ καινοποιηθέντα παρὰ τὰς τῶν Σεβαστῶν χάριτας ἐπανορθῶσαι, περὶ οὗ προγράψω, [ἵνα πᾶσιν φανερὸν ἦι, ὅτι τοὺς [46] ἐ|ν]δειχθέντας συκοφάντας ὡς ἔδει ἐτιμωρησάμην. Οὐκ ἀγνοῶ<ι> δ' ὅτι πολλὴν πρόνοιαν ποιεῖσθε καὶ τοῦ τὴν Αἴγυπτον ἐν εὐσταθείᾳ δια[μένειν], ἐξ ἧς [ἃς εἰς τὸν βίον ἅπαντα] | χορηγίας ἔχετε, ὅσα οἷόν τε ἦν ἐπηνωρθωσάμην. Ἐνέτυχον γάρ μοι πολλάκις οἱ καθ' ὅλην τὴν χώραν γεωργοῦντες καὶ ἐδήλωσαν ὅτι πολλὰ καινῶς κατεκρίθησαν, καίπερ δῆλον ὂν ὅσα δεῖ | φέρειν] [47] τελέσματα σιτικὰ καὶ ἀργυρικά, καὶ οὐκ ἐξὸν τοῖς βουλομένοις εὐχερῶς καθολικόν τι καινίζειν. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα κατακρίματα οὐκ ἐπὶ τὴν Θηβαίδα μόνην εὗρον ἐκτεινόμενα | οὐ|δὲ ἐπὶ τοὺς πόρρω<ι> νομοὺς τῆς κάτω<ι> χώρας, ἀλλὰ καὶ τὰ προάστια τῆς πόλεως ἔφθασεν τήν τε Ἀλεξανδρέων καλουμένην χώραν [48] καὶ τὸν Μαρεώτην [49] [λαβεῖν. Διὸ κελεύω [50] | το]ῖς κατὰ νομὸν στρατηγοῖς ἵνα εἴ τινα καινῶς τῆι ἔγγιστα πενταετίᾳ [51] τὰ μὴ<ι> πρότερον τελούμενα καθολικῶς ἢ<ι> πληθικῶς νομῶν ἢ<ι> τοπαρ[χιῶν ἢ κωμῶν ..... | κα]τεκρίθη<ι>, ταῦτα εἰς τὴν προτέραν τάξιν

ἀποκαταστήσωσιν, παρέντες αὐτῶν τὴν ἀπαίτησιν [52], ἃ καὶ ἐπὶ τὸν διαλογισμὸν ἀχθέντα ἐκ τῶν [......ἐξαιρεθήτω. | Ἐξήτ]ασα δ' ἔτι καὶ πρότερον καὶ τὴν ἄμετρον ἐξουσίαν τῶν ἐγλογιστῶν διὰ τὸ πάντας αὐτῶν καταβοᾶν ἐπὶ τῶι παραγράφειν αὐτοὺς πλεῖστα ἐκ τῆ[ς ἰδίας ἐπιθυ|μίας] [53] · ἐξ οὗ συνέβαινεν αὐτοὺς μὲν ἀργυρίζεσθαι, τὴν δὲ Αἴγυπτον ἀνάστατον γείνεσθαι. Καὶ νῦν τοῖς αὐτοῖς παραγγέλλω μηδὲν ἐξ ὁμοιώμα[τος | ἐπι]γράφειν [54] ἀλ[λ]αχῆι ἄλλο τι τῶν καθόλου χωρὶς τοῦ κρεῖναι τὸν ἔπαρχον. Κελεύω<ι> δὲ καὶ τοῖς στρατηγοῖς μηδὲν παρὰ ἐγλογιστῶν μεταλαμβάνειν χωρὶς τῆ[ς] ἀδείας | τοῦ [55] ἐπάρχου. Καὶ οἱ ἄλλοι δὲ πραγματικοί, ἐάν τι εὑρεθῶσι ψευδὲς ἢ <ι> παρὰ τὸ δέον παραγεγραφότες, καὶ τοῖς ἰδιώταις ἀποδώσουσιν ὅσον ἀπῃτήθησαν καὶ τὸ [ἴ]σον [56] ‖ ἀποτε[ί]σουσιν εἰς τὸ δημόσιον. Τῆς δ' αὐτῆς κακοτεχνίας ἐστὶν καὶ ἡ<ι> λεγομένη<ι> κατὰ σύνοψιν ἀπαίτησις, οὐ πρὸς τὴν οὖσαν ἀνάβασιν Νε[ί]λου [57], | ἀλλὰ πρὸς σύνκρισιν ἀρχαι[ο]τέρων [58] τινῶν ἀναβάσεω[ν] · καίτοι τῆς ἀληθείας αὐτῆς οὐδὲν δοκεῖ δικαιότερον εἶναι · θαρ[ροῦντας | οὖν ο]ἰκεῖν [59] καὶ προθύμως γεωργεῖν τοὺς ἀνθρώπους, [εἰδότα]ς [60] ὅτι πρὸς τὸ ἀληθὲς τῆς οὔσης ἀναβάσεως καὶ τῆς βεβρεγμ[ένης | γῆς, ἀλλ' [61] ο]ὐ πρὸς συκοφαντίαν τῶν κατὰ σύνοψιν παραγραφο[μέ]νων ἡ <ι> ἀπαίτησις ἔσται. Ἐὰν δέ τις ἐξελεγχθῆι ψευσά[μενος, | ...]ιον τριπλάσιον ἀποδώσει. Ὅσοι μὲν γὰρ ἐφοβήθησαν ἀκούσαντες περὶ ἀναμετρήσεως τῆς ἐν τῆι Ἀλεξανδρέω[ν χώραι [62] καὶ τῶι] ‖ Μενελαΐτηι [63] ἀρχαίας γῆς, ε[ἰ]ς ἣν οὐδέποτε σχοινίον κατηνέχθη<ι>, μὴ<ι> μάτην ἐνοχλείσθωσαν · οὔτε [γὰρ] τολμήσει [τις ποιεῖσθ|αι] [64] τὴν ἀνα[μ]έτρησιν οὔτε ἐ[πι]θήσεται. Μένειν γὰρ ὀφείλει τ[ὰ ἐξ] αἰῶνος αὐτῆς δίκα[ια] [65]. Τὸ [66] δ' αὐτὸ ἵστημι [καὶ π]ερὶ τῶν το[ύτοις προστεθ|έν]των προσγενημάτων, ὥστε [μ]ηδὲν ἐπ' αὐτῶν καινίζεσθαι. Περὶ δὲ τῶν ἀρχαιοτέ[ρων ὑποθ](έ)σεων [67] ἐνκει[μένω]ν ὑμῶν, αἷς τε ....|...... νη[... πο]λλάκις ὥ στε οὐ] πλέον περιε[πο]ίησαν πλὴν ἀργυρισμοῦ τῶν πραγμ[ατι]κῶν καὶ τῆς τῶ[ν ἀνθρώ]πων ἐπιτ[ρίψεως [68] Καί|σ]αρι [Σεβ]αστῶι Αὐτοκράτορι γράψ[ας μά-λ]ιστα [69] τῶν ἄλλων αὐτῶι δηλώσω<ι>, μόνωι δυναμ[ένωι] τὰ τοιαῦτα ὁλικῶς ἐ]κκόπτειν, [οὗ καὶ πε]‖ρὶ τῆς πάντων [ἡμ]ῶ[ν] σωτηρίας ἡ<ι> δ[ιη]νεκὴς [εὐ]εργεσία<ι> καὶ πρόνοιά [ἐστιν. Ἔτο]υς πρώτο[υ] Λουκ[ίου] Λειβίου [Σουλπικίου Γάλ]|βα Καίσαρος [Σεβ]αστ[οῦ] Αὐτοκράτορος, Ἐπὶφ ιβ' [70].

Exemplum sequimur quod dedit Dittenberger, optimo exemplo usus quod edidit von Bissing. Cf. Wilcken, *Archiv für Pap.*, II, p. 171-172.

1. Cf. *Prosop. imp. rom.*, II, p. 164, n. 92. — 2. Anno p. C. n. 68, mense Septembri, die XXVIII. — 3. Sc. Alexandriam. — 4. ΛΕΟΜΕΑΝ in lapide. — 5. Οὐσιακοὶ μισθωταὶ dicuntur

